Χρυσόστομον. ὃς ἐν τῇ λθ'. Ὁμιλίᾳ τῆς Γενέσεως ταῦτά φησιν, νυνὶ δὲ Διὰ τοῦ τοῦ Θεοῦ χάριν.
πάντων φθορᾶς τῆς ἀληθείας τοῦ φωτὸς χειραγωγηθέντων, ποῖον τὸ Περιτομῆς ὄφελος; μὴ γὰρ φθορᾶς
τὴν τῆς ψυχῆς ἐλευθερίαν Τί συμβάλλεται ἡ τῆς σαρκὸς κάθεσις; σὺν ἤκουσαν σαφῶς τοῦ Θεοῦ
λέγοντος, καὶ ἔσται ἐν σημείῳ Διαθήκης, μονονουχὶ δεικνύντος, ὅτι Διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμο-

σύνην

σώμω τοῦ ζημείω ἐδείθησαν. Ϛ παρακαπών φησι, Ϛ ἵνα μάθητε ἀκριβῶς ἀγαπητοί, ὅτι ὕδωρ τοῦτο πρὸς τὴν τῆς ψυχῆς ἀρετὴν λυσιτελεῖ, ἐξ αὐτῶν τῶν νομίμων ζωοδεῖν δυνατόν. Ϛ ἔτι, ὅπερ ἐκεῖ ἐργάζεται ἡ Περιστερὰ εἰς τὸν τῆς ζαρκὸς ἀπόθεσιν, τοῦτο ἐνταῦθα τὸ βάπτισμα, εἰς τὸν τῶν ἁμαρτιῶν ἀπόθεσιν, ἔστι δὲ ἡμῖν ὁ λόγος περὶ τῶν Μυστηρίων τὸ χάριτος, ἀληθῶν ὄντων Ϛ ἁγίων καὶ τελείων, Ϛ δύναμιν ἐχόντων μακαρίως ἀποκαθίσαι τοὺς αὐτῶν πίστως μετέχοντας. ε

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ

Περὶ τοῦ πόθεν Μυστήριον.

Πόθεν Μυστήριον; Μυστήριον γὰρ λέγεται, παρὰ τὸ μύειν καὶ κλείειν τὸ στόμα τοὺς μεμυημένους. ὥστε μηδενὶ κοινωνεῖν τῶν ἀμυήτων αὐτό. ὅθεν Ϛ ὁ Σωτὴρ μὴ ῥίπτειν τὰ ἅγια τοῖς κυσὶν ἐντέλλεται, μὴ δὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. ἐξ οὗ καὶ ἡ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία τῆς Ἀνατολῆς τὰς ἀφορμὰς λαβοῦσα, τοὺς ἀμυήτους τῶν Κατηχουμένων, πρὸ τοῦ τὸν χερουβικὸν ὕμνον ᾄσασθαι ᾄδεσθαι, προελθεῖν διακελεύεται, ὅσοι Κατηχούμενοι διὰ τοῦ Ἱεροδιακόνου ἐντέλλονται, προέλθετε, ὅσοι Κατηχούμενοι, μή τις τῶν Κατηχουμένων, μενέτω δηλαδὴ, ἀλλ' ὅσοι πιστοὶ, Ϛ τὰ λοιπά. ι

Καὶ ἄλλως.

Μυστήριον λέγεται, παρὰ τὸ μυεῖσθαι τὸ διδάσκομαι, Ϛ μανθάνω τὰ ἱερά. διὰ τοῦτο καὶ ὁ Σωτὴρ τοῖς αὐτοῦ προελθεῖν τῶν μαθητῶν, καὶ διατὶ ἐν παραβολαῖς λαλεῖ προνοούμενος αὐτῶν, τὸ ὑμῖν ἔφησεν ἐδόθη γνῶναι τὰ Μυστήρια τῆς βασιλείας τῶν Οὐρανῶν. Ματθ. κεφ'. ιγ'.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ

Περὶ τοῦ ποσαχῶς λέγεται τὸ Μυστήριον.

Ποσαχῶς Μυστήριον. Τὸ μυστήριον λέγεται πολλαχῶς. καὶ πρῶτον λέγεται Μυστήριον, ἡ τοῦ Σωτῆρος ἡμῶν σάρκωσις καὶ Οἰκονομία. διό φησιν ὁ Παῦλος ἐν κεφαλαίῳ πρώτῳ τῆς πρὸς Κολοσσαεῖς ἐπιστολῆς. Κολοσσ. κεφ'. ά. Τὸ Μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ φανερωθὲν τοῖς ἁγίοις αὐτοῦ, καὶ τὰ ἑξῆς. καὶ ὁ Διονύσιος ὁ Ἀρεοπαγίτης ἐν τῇ τρίτῃ αὐτοῦ ἐπιστολῇ πρὸς Γάϊον, οὕτω φησὶ, καὶ τοῦτο φῶς Ἰησοῦ κέκρυπται, καὶ ἀσήμῳ λόγῳ, ὅτε νῦν τὸ κατ' αὐτὸν ἐξήκται Μυστήριον, ἀλλὰ καὶ λεγόμενον ἄρρητον μένει, Ϛ νοούμενον ἄγνωστον. Ἔτι λέγεται Μυστήριον, καὶ ἡ τοῦ ἱεροῦ Εὐαγγελίου διδασκαλία, δι' ἧς τὰ Ἔθνη πιστεύσαντες εἰς ὑπερβάλλουσαν ἀνῆλθον δόξαν. ὅθεν Ϛ Παῦλος φησὶν ἐν τῷ τρίτῳ κεφαλαίῳ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς, κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ Μυστήριον. ποῖον; τὸ τὰ Ἔθνη φησὶν ὁ θεῖος Χρυσόστομος ἐν τῇ ἐξηγήσει τοῦ αὐτοῦ ῥητοῦ, εἰς μείζονα τῶν Ἰουδαίων εὐγένειαν ἀναγαγεῖν. Ἔτι λέγεται Μυστήριον τὸ τῆς πίστεως, ὡς ὁ αὐτὸς Παῦλος ἐν τῷ τρίτῳ κεφαλαίῳ τῆς πρὸς Τιμόθεον πρώτης ἐπιστολῆς φησί. Ἔτι λέγεται Μυστήριον, τὸ τῆς εὐσεβείας, ὡς ὁ αὐτὸς φησι Παῦλος. Ἔτι λέγεται Μυστήριον, ἡ τοῦ Σωτῆρος ἡμῶν Ἀνάστασις, καὶ ἡ εἰς Οὐρανοὺς Ἀνάληψις. Ἔτι λέγεται Μυστήριον Ϛ ἡ ἐξανάστασις τῆς ἀνθρωπίνης ὅλης φύσεως, καὶ ἡ δευτέρα τοῦ Κυρίου ἡμῶν παρουσία. τοσούτων γὰρ ὄντων τῶν ζημαινομένων τοῦ Μυστηρίου, περὶ ἑνὸς τούτων ἐστὶν ἡμῖν ἡδὴ ὁ λόγος, ἀλλ' ἢ μόνον περὶ ἐκείνων, οἷς ἡ ἁγία καὶ καθολικὴ κέκρηται Ἐκκλησία, δι' ὧν ἁγιαζόμεθα, καὶ δικαιούμεθα, καὶ ὑφηγούμεθα. κε

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Περὶ τοῦ τί ἐστι Μυστήριον.

Τί Μυστήριον. Μυστήριόν ἐστι πρᾶγμά τι ἱερὸν τῇ αἰσθήσει ὑποπῖπτον, ἔχον ἐνεστῶσαν δύναμιν θείαν ἐγκεκαλυμμένην, δι' ἧς τὴν σωτηρίαν, Ϛ τὰ πρὸς σωτηρίαν τοῖς ἀνθρώποις παρέχει. εἶπον Μυστήριον, ὅτι τοῖς μεμυημένοις Ϛ πιστοῖς μόνοις προσήκει ταῦτα ἐκφαίνειν, καὶ ἀποκαλύπτειν. μὴ ῥίπτετε τὰ ἅγιά φησιν ὁ Κύριος τοῖς κυσὶ, μὴ δὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ὡς εἴρηται. εἶπον πρᾶγμά τι Ϛ τῇ αἰσθήσει ὑποπῖπτον, ἵνα μὴ παρομοίωσιν ὅτι ἔστι τι ἀνύπαρκτον, Ϛ ἐκ τοῦ ἡμετέρου νοὸς πεπλασμένον. εἶπον ἱερὸν, πρὸς διαστολὴν τῶν μὴ ὄντων ἱερῶν κυρίως καὶ ἀληθῶς. εἶπον ἔχει δύναμιν θείαν ἐγκεκαλυμμένην, ἵνα δείξω ὅτι παρὰ Θεοῦ διὰ τοῦ ἱερουργοῦντος κάτεισιν ἡ δύναμις μ' μα'

ἡ δυναμις ἡ ἐν αὐτῳ ὑσα ⸫ ἐνεργῶσα, καὶ ὐχὶ παρά τινος ἀνθρώπου. εἰ πονηρὰς σωτηρίας, ἢ τὰ περὶς σωτηρίαν. ἵνα τὰ μὲν τῶν μυστηρίων ἀναγκαῖα εἶναι ἁπλῶς περὶς τὴν ἡμῶν σωτηρίαν, τὰ δὲ χρήσιμα καὶ κατά τι περὶς αὐτὴν ἐμφανίσῃ.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΤΟΝ.

Περὶ τῆς τῶν Μυστηρίων ποσότητος.

ε' Ἐστὶ δὲ τὰ τῆς Ἐκκλησίας Μυστήρια, Ἡ γλυκεῖα τὸ ἅγιον Βάπτισμα, Τὸ ἅγιον Μύρον, Ἡ τῶν Μυστηρίων Ἡ ἁγία Λειτουργία, Ἡ τάξις τῆς Ἱερωσύνης, Ἡ Μετάνοια, Ὁ νόμιμος Γάμος, ρίων ποσότης.

Καὶ τὸ Εὐχέλαιον.

Καὶ πόσα εἰσὶν ἐπτά; ὅλα ἑπτά εἰσι καὶ αἱ ἀρεταὶ, τρεῖς δηλαδὴ θεολογικαὶ, καὶ τέσσαρες ἠθικαὶ καὶ ἠθικαί. καὶ θεολογικαί εἰσιν, Ἡ Πίστις, Ἡ Ἐλπὶς, Καὶ ἡ Ἀγάπη. Πίστις. Ἑβραί.

Καὶ ἡ μὲν Πίστις, ἥτις ἐστὶ πραγμάτων ἐλπιζομένων ὑπόστασις, τελειοῦται διὰ τοῦ ἁγίου Βαπτίσματος. κεφ'. ιά.

φησὶ γὰρ ὁ ἅγιος Βασίλειος ἐν τῷ δεκάτῳ κεφαλαίῳ τῶν περὶ τοῦ ἁγίου Πνεύματος, Βασίλ.

Ὅτι ἡ Πίστις τελειοῦται διὰ τοῦ Βαπτίσματος.

Τὸ δὲ Βάπτισμα τελειοῦται διὰ τῆς πίστεως.

ιέ Ἑπομένως ὁ μακάριος Παῦλος ἐν τῇ ἑνδεκάτῃ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς φησιν, ὅτι χωρὶς πίστεως Ἑβραί. ἀδύνατον εὐαρεστῆσαι. κεφ'. ιά.

Ἡ δὲ Ἐλπὶς, ἥτις ἐστὶν ὑποστάσεως πράγματος σωτηρία, ἢ προσδοκία ἀγαθῶν, διὰ τῆς μετανοίας Ἐλπὶς. προσβεβαιοῦται. φησὶ γὰρ ὁ Κύριος, ὅτι τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω. Καὶ ὁμοίως ὁ Παῦλος πρὸς Ῥωμαίους, ἡ ἐλπὶς οὐ καταισχύνει. χρηστὸς γάρ φησιν ἐστὶν ἡ ἐλπὶς τῆς Ῥωμ. ψυχῆς ἡμῶν. ὅθεν ὀφείλω ἀνθρωπον ἐλπίζειν, ἢ ἐφ' ἄλλο τι τῶν κατὰ τὸν βίον μεταιωριζόμενον. κεφ'. έ. ὄλβον ὑπὸ δυναστείαν, ἢ χρήματα, ἢ τι τῶν παρὰ τοῖς πολλοῖς νομιζομένων εἶναι λαμπρῶν, ὑδωὰ Βασίλ. ἤδη. ἐπαινῶν Κύριε ὁ Θεός μου, ὅτι σοὶ ἤλπισα. ιέ.

Τοιγαροῦν ἐστὶν ἡ Ἀγάπη, ἥτις ἐστὶν ὁ Θεὸς κατὰ τὸν τῆς βροντῆς υἱόν. καὶ ὁ μένων ἐν αὐτῇ ἐν τῷ Θεῷ μένει, Ἰωάν. ὅτις καὶ ὁ Θεὸς ἐν αὐτῷ. Καὶ ἄλλως. ά. κεφ'. δ'.

κέ Ἀγάπη ἐστὶν ἡ τῶν ἀνθρώπων πρὸς ἀλλήλους ζυμψυχία. ἢ ἀγάπη ἐστὶν ἄπαυστος πρόθεσις ὑπὲρ Ἀγάπη. τῆς φιλίας τοῦ φιλουμένου, καὶ τὸ προτιμᾶν ἑαυτοῦ ἀεὶ ὄντα καὶ παρόντα τὸν ἠγαπημένον. ἢ ἀγάπη ἐστὶν ἕξις ὁρμὴ τῆς ψυχῆς, δι' ἧς ποθεῖται ὁ Θεὸς ἕνεκεν αὐτοῦ, καὶ ὁ πλησίον ἕνεκα τοῦ Θεοῦ, καὶ ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ Νόμος καὶ οἱ Προφῆται κρέμανται.

Τῶν δὲ ἠθικῶν καὶ ἠθικῶν ἀρετῶν, ἡμῖν Φρόνησίς ἐστιν ὡς εἴρηται, ἥτις ἐστὶ κατὰ μὲν τὸν Φιλόσοφον, Φρόνησις. ἀρετὴ τοῦ λογιστικοῦ, κατὰ δὲ τὸν Θεῖον Μάξιμον, ἕξις ὑπομνηστικὴ, ἀπλανὴς ὡς πρὸς τὰ ὄντων ἀλλε- λ' γομένη γνῶσιν, αὐτὴ τῇ Ἱερωσύνῃ ζυναρμοσέον, ὅτι τοὺς Ἱερεῖς φρονίμους δεῖ εἶναι ὡσεὶ Ὄφεις, καὶ ἀκεραίους ὡσεὶ Περιστερὰς κατὰ τὸ γεγραμμένον.

Ἡ δὲ Δικαιοσύνη, ἥτις ἐστὶν ἀρετὴ ψυχῆς διανεμητικὴ τοῦ κατ' ἀξίαν, ἡ δὲ διανεμητικὴ τοῦ ἴσου Δικαιοσύνη. καὶ τῶν ὅλων ψυχικῶν δυνάμεων περὶ Θεοῦ ἰσονομίας φυλακτική, αὐτὴ τῷ ἁγίῳ παρεικά- ζεται Μύρῳ. καὶ ὡς καθάπερ τὸ Μύρον ὑμόνουν καθ' αὑτό ἐστιν ὀδωδὲς, ἀλλὰ καὶ τοῖς μετέχουσι τὴν λε αὐτοῦ μεταδίδωσιν ὀδωδίαν, οὕτω καὶ ὁ τὴν δικαιοσύνην ἐνεργῶν ὑμόνουν τοῖς ἀξίοις χορηγεῖν ὀφείλει τὸ δίκαιον, ἀλλὰ καὶ αὐτὸς ἑαυτῷ ζυνήδεται, δικαιοσύνην ἑαυτὸν εἰδὼς πεπραχότα, καὶ τὴν ζυνείδησιν ἀεὶ κατακεκτῆσθαι μὴ ἔγκοπτα.

Ἔστι τελευταία ἡ Σωφροσύνη, ἥτις ἐστὶν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν ἀνύρεκτοι γίνονται περὶ τὰς Σωφροσύνη. χορταλούσεις τῶν φαύλων ἡδονῶν, αὐτὴ διὰ τοῦ Μυστηρίου τοῦ Γάμου θεραπεύεται. Διὰ γὰρ τὰς πορ- Κορ. ά. μ' νείας φησὶν ὁ μακάριος Παῦλος, ἕκαστος τὴν ἰδίαν γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα. κεφ'. ζ'.

Ἔστι τεταρτη ἡ Ἀνδρία, ἥτις ἐστὶν ἀρετὴ τοῦ θυμοειδοῦς, ἣ ἕξις ἀναιρετικὴ δειλίας καὶ θρασύτης. Ἀνδρία. ταύτην οὖν τις χορτάζει, διὰ τοῦ ἁγίου Εὐχελαίου ἀναλαμβάνει, ὅτι τῇ μὲν σώματι τὴν ῥῶσιν καὶ ἰσχὺν χορηγεῖ, τῇ δὲ ψυχῇ τὴν ἄφεσιν ἀναμφιβόλως παρέχει τῶν ἁμαρτιῶν, παρ' ὧν πλαδαρεῖται, καὶ τὰ

καὶ τὰ ἔχοντα θανατῶσαι. μάρτυς ἡ τούτων ἀψευδὴς, ὁ ὑπὸ τοῦ Κυρίου χειροτονηθεὶς τῆς ἁγίας Σιὼν Ἐπίσκοπος Ἰάκωβος, φησὶ γάρ, ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ, καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ.

Καὶ ἄλλως. ε'

Ἑπτά εἰσι τὰ τῆς Ἐκκλησίας Μυστήρια, ἅτινα ἑπτά εἰσι καὶ τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, οἷόν ἐστιν, Ὁ Φόβος, Ἡ Εὐσέβεια, Ἡ Σοφία, Ἡ Ἰσχύς, Ἡ Βουλὴ, Ἡ Σωφία, Ἡ Γνῶσις. Ἑπτὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος. Ἡ αὐτὴ κεφ. ιά'.

Ταῦτα τὰ ἑπτὰ χαρίσματα, γυναικῶς κατὰ τῶν ἑπτὰ χωρῶσι θανασίμων ἁμαρτημάτων, καὶ ἄκρως ἀφανίζουσιν αὐτά. ς'

Καὶ ὁμοῦ Φόβος, χωρεῖ κατὰ τὴν Ὑπερηφανίας, ἡ δὲ Εὐσέβεια, κατὰ τοῦ Θυμοῦ, ἡ δὲ Σοφία, κατὰ τῆς Ἀκηδίας, ἡ δὲ Δύναμις, κατὰ τῆς Βασκανίας, ἡ δὲ Βουλὴ, κατὰ τῆς Φιλοδοξίας, ἡ δὲ Σωφία, κατὰ τῆς Λαιμαργίας, ἡ δὲ Γνῶσις, κατὰ τῆς Λαγνείας.

Καὶ ἄλλως.

Παροιμ. κεφ. θ'. Ἑπτά εἰσι τὰ τῆς Ἐκκλησίας Μυστήρια, ὅπ ταῦτα εἰσὶν οἱ ἑπτὰ στύλοι, ἐφ' οἷς τὸν Ἐκκλησίαν ὑπεστήρισεν ἡ τῶν ὅλων Σοφία, Χριστός. ζ'

Καὶ ἄλλως.

Ἰησοῦ τοῦ Ναυῆ, κεφ. ς'. Ἀποκάλ. κεφ. έ. Ἑπτά εἰσι τὰ τῆς Ἐκκλησίας Μυστήρια, ὅπ ἑπτὰ ἦσαν αἱ σάλπιγγες, αἵ τὰ τῆς Ἱερειχὼ τεῖχη καταπορθήσασαι, ταῦτα γὰρ σημαίνει προδιετύπωσαν. Ὡς γὰρ καθάπερ σημαίνουσι τῶν Ἱερέων σαλπίζοντες τὰ σημεῖα τοῦ τείχους κατέρριπτον, οὕτω δὲ τὰ Μυστήρια ἐνεργούμενα, τὰ ἑπτὰ τοῦ Θηρὸς κέρατα, τὰ ὑπὸ τοῦ θεσπεσίου Ἰωάννου ὁραθέντα, τουτέστι τὰς ἑπτὰ δυνάμεις τῶν θανασίμων τῆς ἁμαρτίας παθῶν καταθραύουσι. καὶ πάλιν, καθάπερ αἱ σάλπιγγες τὰ τείχη κατηδάφισαν, καὶ οἱ περὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ σαυίδας τοὺς σημεῖ ἀνεῖλον, τῷ δὲ Ῥαὰβ τῷ πόρνῃ, καὶ τοὺς αὐτῆς συγγενεῖς ἀνελώτους εἶασαν, οὕτω δὲ τὰ ἑπτὰ Μυστήρια τῆς ἁγίας Ἐκκλησίας, τὰ τείχη τῆς Ἱερειχὼ, ἤγουν τὰ τῆς ἀνθρωπίνης φύσεως ἁμαρτήματα καθαδαφίζουσι καὶ ἀφανίζουσι, τῷ δὲ ψυχῷ δὲ τοὺς συγγενεῖς αὐτῆς, τουτέστι τὰς αὐτῆς δυνάμεις, ἅμα τοῖς σώμασι καὶ ταῖς αἰσθήσεσιν, ὑδοὺ δεινὸν ποιοῦσι, μᾶλλον δὲ διατηροῦσι διασώζουσι. η'

Καὶ ἄλλως.

Ζαχαρ. κεφ. δ'. Ἑπτά εἰσι τὰ τῆς Ἐκκλησίας Μυστήρια, ὅπ ταῦτα προδιετύπωσαν οἱ ἑπτὰ λύχνοι οὓς εἶδεν ὁ Προφήτης ὑπὸ τὴν λυχνίαν, ἧς ἑκατέρωθεν τῶν μερῶν φυτὸν ὑπῆρχεν Ἐλαίας. Ὡς ἡμῖν λυχνία τὴν ἁγίαν ἐδήλου Ἐκκλησίαν, Οἱ δὲ ἑπτὰ λύχνοι, τὰ ἑπτὰ Μυστήρια αὐτῆς, Οἱ δὲ κλάδοι τῆς Ἐλαίας, τὸ ἱλαρόν τε καὶ τὸ μακρόθυμον τῆς Ἐκκλησίας, τὸ προτρέπον τοὺς ἁμαρτωλοὺς ὑποσημαίνουσι. ἱλαρῷ γὰρ προσώπῳ δέχεται αὐτοὺς, καὶ ἱλαροὺς ποιεῖ διὰ τῆς Μετανοίας, καὶ τῶν θείων Μυστηρίων. θ'

Καὶ ἄλλως.

Ἀποκάλ. κεφ. ά. Ἑπτά εἰσι τὰ τῆς Ἐκκλησίας Μυστήρια, ὅπ ταῦτα προδιετύπωσαν οἱ ἑπτὰ Ἀστέρες, οὓς εἶδεν Ἰωάννης ἐν τῇ δεξιᾷ χειρὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ὡς τῇ δεξιᾷ τῆς δυνάμεως αὐτοῦ τηρούμενα, καὶ διασωζόμενα. καὶ γὰρ καθάπερ οἱ Ἀστέρες ἐν τῇ νυκτὶ ἐνεργοῦσιν, ἀπατείλαντος δὲ τοῦ Ἡλίου, οὐδὲν λυσιτελοῦσι τοῖς ἀνθρώποις, οὕτω δὲ τὰ ἅγια Μυστήρια ἐνεργοῦσι δὲ ὠφελοῦσιν ἐν τῷ νῦν αἰῶνι (νὺξ γάρ ἐστιν ὁ νῦν αἰὼν, διὸ δὲ ὁ Κύριος μακαρίζει τὸν γρηγοροῦντα δοῦλον ἐν τῇ νυκτὶ ταύτῃ) ἐν δὲ τῷ μέλλοντι αἰῶνι, ὅταν ὁ Ἥλιος τῆς δικαιοσύνης ἀναλάμψῃ Χριστὸς ὁ Θεὸς ἡμῶν, οὐκ ἐνεργητά εἰσι, καὶ τοῖς τότε σὺν ὀνίνησι, καὶ ἄλλως οὐ εἴποι τις, θεωρητικώτερον ἐρεύνησας, ὅπ τὰ Μυστήρια παρεικάζεται τοῖς Ἄστροις καὶ τῷ τῶν νῦν συγγένειαν καὶ ἀναλογίαν. Ὡς γὰρ καθάπερ τὰ Ἄστρα εἰσὶ στερεὰ ἐν τῷ Στερεώματι, οὕτω δὲ τὰ Μυστήρια στερεὰ καὶ ἀμετακίνητά εἰσιν ἐν τῇ Ἐκκλησίᾳ. καὶ καθάπερ ἐκεῖνα καθαρίζουσι τὸν Ἀέρα, οὕτω καὶ τὰ Μυστήρια καθαρίζουσι τὸν ὀφθαλμὸν τῆς ψυχῆς, ὅς ἐστιν ὁ Νοῦς. καὶ πάλιν, καθάπερ ἐκεῖνα τὸ ἔμφυτον ἡμῶν θερμὸν διασώζουσιν, οὕτω δὲ τὰ Μυστήρια διατηροῦσι τὸν

πρὸς τὸν Κύριον ἡμῶν θερμὴν ἀγάπην, καὶ πάλιν, καθάπερ ἐκεῖνα κινεῖται ὀξέως, οὕτω δὲ τὰ Μυ-
στήρια ἀνυπερθέτως κινοῦνται καὶ δωροῦνται τοῖς αὐτὰ πιστῶς τε καὶ ἀλαβῶς ἀπαιτοῦσι. καὶ πάλιν,
καθάπερ ἐκεῖνα εἰς πλῆθος ἄπειρον, καὶ ἔργα ποιοῦσι τοῖς ὑπὸ τὴν Σελήνην ταχέως ἄπειρα, οὕτω
καὶ τὰ ἅγια τῆς Ἐκκλησίας Μυστήρια πολλὰς, καὶ ταχέως ἀπείρους τὰς δωρεὰς δὲ ἐργασίας καὶ
ε χάριτας τοῖς πιστοῖς καὶ ὀρθοδόξοις παρέχουσι. καὶ πάλιν, καθάπερ ἐκεῖνα μικρὰ δοκοῦσιν εἶναι τοῖς
ὁρῶσι τῷ εἶναι αὐτοὺς πόρρω καὶ ἐπέκεινα αὐτῶν, οὕτω δὲ τὰ Μυστήρια δύτελῆ δὲ ἀνόητα τοῖς ἀμυήτοις, καὶ
τοῖς πόρρω τοῦ θείου Χρίσματος ἀληθῶς μαίνεσθαι δοκεῖ. καὶ πάλιν, καθάπερ ἐκεῖνα δύτακτως παρὰ
τοῦ Δημιουργοῦ ἐν τῷ Οὐρανῷ ἐτέθησαν, οὕτω δὲ τὰ Μυστήρια παρὰ τοῦ Κυρίου δύτακτος, καὶ διὰ
τῶν αὐτοῦ ἁγίων δὲ πανσόφων Μαθητῶν τῇ Ἐκκλησίᾳ παρεδόθησαν. καὶ ἦν δύκαίρως δύτελεῖται,
ι καὶ τρόπον ἔχει δύσημονικὸν, δὲ ὕλην ἔχει δύπτηδείαν, δὲ εἶδος εἰδοποιοῦν, δὲ ὑπηρέτην τεθηκότα
καὶ νόμιμον, δὲ τὰ ἄλλα πάντα ὅσα αὐτοῖς ἁρμόττει, δυαρμόστως ἔχει δὲ ὑπερφυῶς.

Καὶ ἄλλως.

Τύποι ὑπῆρχον τῶν ἐπὶ Μυστηρίων τῆς Ἐκκλησίας, τὰ ἐπὶ λύματι τοῦ Νεεμὰν τοῦ Σύρου ἐν Βασιλειῶν, δ'. κεφ'. ε'.
τῷ Ἰορδάνῃ. καὶ ἦν καθάπερ ἐκεῖνα μὴ τὸ βαπτισθῆναι ἐπάκις ἡ χαρὰ ἐπέστρεψεν ὡς παιδα-
ια ρίου μικροῦ, καὶ ἐκαθαρίσθη ὅλως, οὕτω δὲ ἡμεῖς διὰ τῶν ἐπὶ τῆς ἁγίας Ἐκκλησίας Μυστηρίων
δύπιστρεφόμεθα ἀφ' ὧν ἐπλανήθημεν, καὶ ἀναλαμβάνομεν ἅπερ ἀπωλέσαμεν, καὶ καθαιρόμεθα. δὲ
ἦν μὴ τὴν ἔκπτωσιν ἀπωλέσαμεν Τὸ κάλλος τὸ θεοῦφαντον, Τὴν τῦγείαν τὴν διωνεκῆ,
Τὴν Ἀφθαρσίαν, Τὴν Ἰσχύν, Τὴν καθαρὰν συνείδησιν, Τὴν Ἐλευθερίαν, Τὴν
Εὐλάβειαν, Καὶ τὴν θερμότητα τοῦ πρὸς τὸν Θεὸν ἀγάπης.

κ' Ταῦτα πάντα ἀναλαμβάνειν ἠξίωσεν αὐτὸς ἡμᾶς ὁ φιλανθρωπότατος Θεὸς ἡμῶν, διὰ τῶν ἐπὶ τῆς
Ἐκκλησίας Μυστηρίων. ἀπεκδυόμεθα γὰρ τὴν ἀρχαιότητα, ἤγουν τὸν παλαιὸν ἄνθρωπον ἐν τῇ ἀ-
πεκδύσει τοῦ σώματος ἡμῶν, καὶ ἀναλαμβάνομεν αὐτὸς τὸν Θεοῦφαντον ἐκεῖνον στολὴν διὰ τοῦ
ἁγίου Βαπτίσματος. Χριόμεθα τὴν νόσον, καὶ ἀναλαμβάνομεν τὴν ὑγείαν. Ὑγιαίνομεν γὰρ ἐν Τίτ. κεφ'. β'.
τῇ πίστει φησὶν ὁ μακάριος Παῦλος. Χριόμεθα τὴν ἀκαθαρσίαν, καὶ ἀναλαμβάνομεν τὴν Κορ. α'.
κ' ἁγνείαν. Ἁγιάζομαι φησὶν ὁ αὐτὸς Παῦλος ὑμᾶς εἰς αὐδρα, παρθένον ἁγνὴν παραστῆσαι Χριστῷ. κεφ'. ιά.
ὁμοίως ἀναλαμβάνομεν τὴν ἰσχύν, καὶ χριόμεθα τὴν γυμνότητα. λήψεσθε γάρ φησιν ὁ Κύριος Πράξεις.
δύναμιν ἐξ ὕψους. ἀναλαμβάνομεν τὴν ἐλευθερίαν, ὅτε ἦμεν δοῦλοι ἐσμὲν τῆς ἁμαρτίας. κεφ'. ά.
ἀναλαμβάνομεν τὴν εὐλάβειαν, καὶ χριόμεθα τὴν ἀνάστασιν. Ἔχομεν φησὶν ὁ Ἀπόστολος χά- Ἑβραί. κεφ'.
ριν, δι' ἧς λατρεύομεν τῷ Θεῷ εὐαρέστως μετ' αἰδοῦς καὶ εὐλαβείας. ἀναλαμβάνομεν τὴν πρὸς Θεὸν ιβ'.
λ' ἀγάπην, καὶ τὸ μῖσος κατὰ τοῦ Διαβόλου διεγείρομεν. Ἐκκέχυται γὰρ ἡ ἀγάπη τοῦ Θεοῦ Ῥωμ. κεφ'.
ἐν ταῖς καρδίαις ἡμῶν. Καὶ ἄλλως. έ.

Ἐπιὰ εἰσὶ τὰ ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ τοῦ Θεοῦ Μυστήρια, ὅπερ ἐπιὰ εἰσὶν Εἴδη τῶν εἰς τὴν Πνευμα-
τικὴν ἄμπελον θελόντων ἐργάζεσθαι, τυτέστι
Τὸ τῶν εἰσερχομένων, Τὸ τῶν πολεμούντων, Τὸ τῶν νεπιόντων, Τὸ τ' ἀνισαμένων,
Τὸ τ' ἀποδημούντων, Τὸ τ' ὑπηρετούντων, Καὶ τὸ τ' βυλομένων αὔξειν τὴν ἄμπελον.
λέ Καὶ τὸ μὲν τ' εἰσερχομένων ἐστὶν, τὸ ζωὴν τ' πιστῶν, τῶν διὰ τ' σωτηρίου πύλης τοῦ θείου Βαπτίσματος Τὸ τῶν εἰσερ-
εἰσερχομένων, σωτὴρ γάρ ἐστι διὰ τὴν ἐπαγγελίαν, ὃ δὴ ἀποταξάμενοι τῷ Σατανᾷ, καὶ ζωοποιηθέντες χομένων.
τῷ Χριστῷ, διὰ πολλῶν θλίψεων εἰς τὴν βασιλείαν ὀφείλει εἰσελθεῖν, διὸ καὶ ὁ Κύριος εἶπεν,
ὅτι θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ, δὲ ὅτι, ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.
μ' Τὸ δὲ τῶν πολεμούντων, οἱ αὐτοί εἰσιν, οὓς δεῖ ὑ πιστὸς αἷμα καὶ σάρκα μόνον ἀνθίστασθαι, ἀλλὰ καὶ Τὸ τῶν πολε-
πιστὸς τὰς Ἀρχὰς καὶ Ἐξουσίας τοῦ σκότους τοῦ αἰῶνος τούτου, τυτέστι πιστὸς τοὺς Αἱρετικοὺς καὶ Ἀσεβεῖς μούντων.
καθ' ὅσον ἰσχύσιν, ὅθεν καὶ τῷ θείῳ Μύρῳ χρίοντας μὴ τὴν τοῦ θείου Βαπτίσματος τελετὴν
σύν τε τῷ μετώπῳ δὲ τοῖς λοιποῖς μέρεσιν, ὡς ἡ ἁγία τῆς Ἐκκλησίας παράδοσις δύηκριβωτεῖ, καὶ Βα-
σιλέως οὐρανίου διὰ τοῦ σφραγισθῆναι σημεῖον ἀναδείκνυσθαι εἶναι Στρατιώτην.

Τὸ δὲ

Τὸ τῶν νηπίων ἐστὶν, οἱ νηπιαθηνῶντες ὡς καλοὶ Στρατιῶται Ἰησοῦ Χριστοῦ, οἵτινες ἐργάζονται ἐν τῷ ἀμπελῶνι δι' ἐναρέτου ζωῆς καὶ πολιτείας, καὶ ὑπομένουσι πᾶσαν θλῖψιν καὶ στενοχωρίαν διὰ τὴν Βασιλείαν τῶν Οὐρανῶν, ὡς ὁ Κύριος διὰ τῆς ἁγίας αὐτοῦ Σαρκὸς καὶ τοῦ πανυπερτίμου αὐτοῦ Αἵματος ἀνακυφίζει τοὺς πόνους, καὶ θεραπεύει ὑπερφυῶς. καὶ ὥσπερ οἱ νηπιάζοντες τῇ τοῦ μόχθου βίᾳ χαίνουσι μένουσι, τῶν ζωτικῶν πνευμάτων τοῦ ζώματος αὐτῶν ἐξερχομένων, καὶ δέονται τροφῆς εἰς ἀναπλήρωσιν ἐκείνων, ὅτω καὶ οἱ πνευματικῶς ἀγωνιζόμενοι, τῷ θείῳ Ἄρτῳ ῥωννύμενοι, καὶ τῷ τιμίῳ Αἵματι ποτιζόμενοι, ἀναζωπυροῦνται τῶν καμάτων, καὶ ὑπλανθανόμενοι τοῦ μόχθου θαυμασίως καὶ νεανικῶς, αὖθις πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀνδρείως εἰσέρχονται. Τὸ τῶν νηπιαζόντων.

Τὸ δὲ τῶν ἀνισταμένων ἐστὶν, οἱ ὄντες μὲν ἐν τῷ ἀμπελῶνι καὶ νηπιάζοντες, φθόνῳ δὲ τοῦ διαβόλου, καὶ τῇ τῆς σαρκὸς ἀσθενείᾳ πίπτοντες οἰκτρῶς, ποικίλως τῆς ἁμαρτίας καταπικραινούσης αὐτούς, ὡς ἡ ἁγία Μετάνοια προσελθοῦσα ἀνίστησι, καὶ θαῤῥαλέους ποιοῦσα, πρὸς τοὺς τῆς ἀρετῆς κοπετοὺς αὖθις διεγείρει λαμπρῶς. Τὸ τῶν ἀνισταμένων.

Τὸ δὲ τῶν ἀποδημούντων ἐστὶν, οἱ ἀπὸ τῶν προκαίρων τούτων πρὸς τὰ αἰώνια διαβαίνοντες ὀρθόδοξοι, ὡς διὰ τῶν προσευχῶν τοῦ Εὐχελαίου ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία ἐκδιδάζει καὶ καθοπλίζει σεσαρκωμένως, ὥστε τοὺς ἄνω χώρους ῥᾳδίως διϊέναι. Τὸ τῶν ἀποδημούντων.

Τὸ δὲ τῶν ὑπηρετῶν ἐστὶ, τὸ τῆς Ἱερωσύνης ἅγιον Τάγμα, οἷς ἐνεπιστεύθη ἡ Θεόπνευστος Γραφὴ πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν. αὕτη ἐστὶν ἡ ἐργασία ζωὴ τοῖς ἄλλοις τοῖς παρὰ τοῦ Κυρίου δεδωρημένοις, ἤγουν τοῦ διδάσκειν, τοῦ βαπτίζειν, καὶ τοῦ τὰς ἁμαρτίας λύειν καὶ δεσμεῖν. ταῦτα παίζα παρὰ τῶν Θεοκηρύκων Ἀποστόλων ἀλληλοδιδόχως ἐπὶ τοὺς ἀπὸ τῆς Οἰκουμένης ὀρθοδόξους Ἐπιστεύσεως διαβαίνει. αὕτη ἐστὶν ἡ ἐργασία τῆς πνευματικῆς ἀμπέλου, ἣν ἡμᾶς ἐθέτησε διά τε λόγου καὶ ἔργων ἀγαθῶν, καὶ ἠθῶν, καὶ ζωῆς παραδειγματικῆς καλλιεργεῖν, καὶ τηρεῖν ὡς οἷόν τε, ἡμᾶς ἠξίωσεν ὁ Κύριος ἐσὲ τὸ ἅλας τῆς γῆς, καὶ τὸ φῶς τοῦ κόσμου. Τὸ τῶν ὑπηρετούντων.

Τὸ δὲ τῶν τὴν ἄμπελον αὔξειν πειρωμένων ἐστὶν, οἱ νομίμως γυναικὶ ὁμιλοῦντες, ὡς θεραπεύει τὸ Μυστήριον τοῦ Γάμου, κρεῖσσον γαμεῖν φησὶν ὁ μακάριος Παῦλος, ἢ πυροῦσθαι. Τὸ τῶν τὴν ἄμπελον αὔξειν πειρωμένων.

Καὶ ἄλλως.

Ἑπτά εἰσι τὰ τῆς ἐκκλησίας Μυστήρια, ὅτι ἑπτὰ δωρεὰς λήψεσθε παράκλητον τὰς ταῦτα λαμβάνοντας μὴ τὴν ἐντεῦθεν ἀπαλλαγήν, ὧν αἱ μὲν δωρεαὶ ἔσονται τῆς ψυχῆς, αἱ δὲ τέσσαρες, τοῦ ζώματος. Κορίνθ. α'. κεφ. ιγ'.

Καὶ τῆς μὲν Ψυχῆς ἐστὶν, ἡ πληρωσις τοῦ λογικοῦ πάσης γνώσεως καὶ ἐπιστήμης, ἥτις γνωσθήσεται, ὅταν ἔλθῃ τὸ τέλειον, τότε γὰρ φησὶν ὁ Παῦλος τὸ ἐκ μέρους καταργηθήσεται, καὶ καταξιωθῇ τοῦ πρόσωπον πρὸς πρόσωπον ὁρᾶν τὸν Κύριον. ἔσται τότε πέρησις γνώσεως τῇ ψυχῇ, ἀλλ' ἔξις αἰωνία πασῶν τῶν ἐπιστημῶν.

Ἔστι τοῦ Θυμικοῦ, ἡ ἡσυχία, ἡ πραότης, ἡ ἐρημία, καὶ ἡ αἰωνία εἰρήνη. ἔσται γὰρ πέρησις ἐρημίας ἔσεται τῇ ψυχῇ, ἀλλ' ἔξις αἰωνίου εἰρήνης καὶ ἀγάπης ἀσυγκρίτου.

Ἔστι καὶ τοῦ Ἐπιθυμητικοῦ, πλησμονὴ θεία, καὶ ὄρεξις πνευματικὴ ἐπουράνιος. χορτασθήσομαί φησιν ὁ Προφήτης ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου. καὶ αὗται μέν εἰσιν αἱ τῆς ψυχῆς δωρεαί.

Τοῦ δὲ Σώματός εἰσιν, ἡ ἀθανασία, ἡ νεκρότης, ἡ λεπτότης, ἤγουν ἡ ἀῤῥαιότης, καὶ ἡ δόξα ἡ ὑπὲρ τὸν Ἥλιον λάμψουσι.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ.

Περὶ τῆς Διαφορᾶς τῶν Μυστηρίων.

Τῶν Μυστηρίων τὰ μὲν εἰσιν ἀναγκαῖα, τὰ δὲ χρήσιμα. καὶ τὰ μὲν ἀναγκαῖά εἰσι, τὸ Θεῖον Βάπτισμα, ἡ Θεία Κοινωνία, ἡ τάξις τῆς Ἱερωσύνης, καὶ ἡ ἁγία Μετάνοια. τὰ δὲ χρήσιμά εἰσι, τὸ ἅγιον Μύρον, τὸ Εὐχέλαιον, καὶ ὁ σύνομος Γάμος. Τῶν Μυστηρίων διαφορά.

Καὶ τὸ μὲν Βάπτισμα ἐστὶν ἀναγκαῖον ἁπλῶς καὶ κυρίως, ὅπ φησὶν ὁ Κύριος, Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Ἰωάν. κεφ. γ'.

Ἡ δὲ Θεία Κοινωνία ἐστὶν ἀναγκαία, ὅπ φησὶν ὁ Κύριος, ἐὰν μὴ φάγητε τὴν Σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου,

ανθρώπω, καὶ πίητε αὐτοῦ τὸ Αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Ἔστι καὶ ἡ Ἱερωσύνη ἀναγκαία, ὅτι ἄνευ ταύτης τὰ τῆς Ἐκκλησίας ἀδύνατον τελεῖσθαι Μυστήρια. καὶ γὰρ πόλεις καὶ κώμαι ἄνευ ἀρχῆς δύνανται διοικεῖσθαι, Ἱερωσύνης δὲ χωρὶς, ἀδύνατον. ἔστι γὰρ ἡ Ἱερωσύνη ἐν τῷ κόσμῳ, οἷόν ἐστιν ἡ ψυχὴ ἐν τῷ σώματι, καὶ Ἥλιος ἐν τοῖς ὑπὸ τὴν Σελήνην γενητοῖς καὶ φθαρτοῖς.

Ἡ Μετάνοια ἐστὶν ἀναγκαία μετὰ τὸ Βάπτισμα τοῖς ἁμαρτάνουσι, διότι φησὶν ὁ Κύριος, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. καὶ ἀλλαχοῦ, μεγάλη χαρὰ γίνεται ἐν Οὐρανῷ ὅταν ἑνὶ ἁμαρτωλῷ μετανοήσῃ. καὶ ὁ Θεὸς Ἰάκωβος ἐξομολογεῖσθε φησὶν ἀλλήλοις τὰ ἁμαρτήματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. Ματ. κεφ'. ιή.

Ἔστι καὶ ὁ Γάμος ἀναγκαῖον κατά τι, οὐ μὴν ἁπλῶς, πρὸς παιδοποιΐαν καὶ διατήρησιν τοῦ εἴδους παρὰ τοῦ Δημιουργοῦ δέδοται καὶ συνεχωρήθη.

ΚΕΦΑΛΑΙΟΝ ΕΒΔΟΜΟΝ.

Περὶ τοῦ πόσα καὶ ποῖα τῶν Μυστηρίων παρέγουσι ζωοποιΐαν τοῖς ταῦτα λαμβάνουσιν ἀνεξάλειπτον.

Τὰ Μυστήρια τὰ παρέχοντα τοῖς αὐτὰ λαμβάνουσι χαρακτῆρας ἀνεξαλείπτους, ἐστὶ τὸ Θεῖον δηλαδὴ Βάπτισμα, καὶ ἡ Ἱερωσύνη. ἕτεροι δὲ καὶ τὸ Θεῖον Μύρον δυσεβῶς καὶ ὀρθῶς λέγουσιν εἶναι. τύπων γὰρ αἱ σφραγῖδες οὐκ ὑποβάλλονται, ὅτε μὲν ἐξαλείφονται. εἰ δὲ καί τις ἐξ ἀνθρώπων γένοιτο, καὶ αὖθις ἁλίσαιτο, οὐκ ἂν ἐδεήθη ἀναβαπτισμοῦ, ὅτε μὲν ἀναχειροτονήσεως, ἀνεξαλείπτων μυστηρίων τῶν ἐπ' αὐτῇ χαραχθέντων τῶν Μυστηρίων τούτων, ὡς εἴρηται. Πόσων μυστηρίων ἡ σφραγὶς ἀνεξάλειπτος.

ΚΕΦΑΛΑΙΟΝ ΟΓΔΟΟΝ.

Περὶ τοῦ τίς ἐστιν ὁ τὰ Μυστήρια διαταξάμενος.

Ὁ τὰ Μυστήρια διαταξάμενος καὶ νομοθετήσας, αὐτός ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. αὐτὸς γὰρ πρῶτος ἐβαπτίσθη ὑπὸ Ἰωάννου ἐν τῷ Ἰορδάνῃ, οὐχ ὡς χρῄζων καθάρσεως, οὐ γὰρ ὑπὸ τῆς προπατορικῆς ἐνεπλάκη ἁμαρτήματος, ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, ἀλλ' ἵνα ἡμᾶς ἀποπλύνῃ, καὶ καθαρίσῃ πάντας, καὶ ἁγιάσῃ καὶ τῷ τῶν ὑδάτων φύσιν, καθὼς καὶ τὰ λοιπὰ πάντα ἡγίασε τῇ αὐτοῦ παρουσίᾳ. αὐτὸς ὁ Λυτρωτὴς ἡμῶν τοὺς ἁγίους αὐτοῦ Μαθητὰς ἐξαποστείλας βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος πάντα τὰ Ἔθνη, τὸ Μυστήριον τοῦ ἁγίου Βαπτίσματος ἐνομοθέτησεν. Τίς ὁ τὰ μυστήρια διαταξάμενος.

Αὐτὸς ὁ Κύριος ἡμῶν ὑπὸ Πατρὸς χρισθεὶς τῷ θεουργικῷ ἐλαίῳ, καὶ τὸ εἰρημένον ὑπὸ τοῦ ψαλμῳδοῦ, διὰ τοῦτο ὁ Θεός ἔχρισέ σε ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ οἱ Μαθηταὶ αὐτοῦ ὑπ' αὐτοῦ διδαχθέντες, ἐλαίῳ ἤλειφον τοὺς νοσοῦντας, καθὼς ὁ ἱερὸς Μάρκος φησί. τοῦτο τὸ χρίσματος Μυστήριον διεσήμαινεν, ἔλεγε καὶ τὸ τῆς πάρνης ὀστέον μύρον τοῦτο παρεδήλου. Φαλμὸς μδ'.

Τῷ δὲ Ἱερωσύνῃ, καὶ τῇ Θείᾳ Λειτουργίᾳ, αὐτὸς ὁ Κύριος ἡμῶν ὑπενομοθέτησε. καὶ γὰρ Ἱερεὺς εἶναι ὑπὸ τὴν τάξιν Μελχισεδέκ. σὺ γάρ φησιν Ἱερεὺς εἶ κατὰ τὴν τάξιν Μελχισεδέκ. Φαλ. ρθ'.

Καὶ ὁ μακάριος Παῦλος πρὸς Ἑβραίους φησὶν, ὁ Χριστὸς παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. αὐτὸς ὁ Σωτὴρ καὶ τὴν θείαν πρῶτος ἐπετέλεσεν Ἱερουργίαν, νίκην τὸν ἄρτον διεμέρισε, καὶ τὸ ποτήριον, καὶ τοῖς ἱεροῖς αὐτοῦ Μαθηταῖς εἶπε, λάβετε φάγετε τοῦτό μου ἐστὶ τὸ Σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον. καὶ πίετε ἐξ αὐτοῦ πάντες. τοῦτό ἐστι τὸ Αἷμά μου τὸ τῆς καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν. Ἑβραί. κεφ'. θ'.

Ἐκ τῶν εἰρημένων γοῦν δῆλον, ὅτι ὁ Κύριος ἡμῶν καὶ Θεὸς καὶ Θῦτης καὶ Θῦμα γέγονε, καὶ Ἱερεὺς καὶ Ἱερεῖον, ἑαυτὸν θύσας τῷ Θεῷ καὶ Πατρὶ, ᾧ καὶ τὸ ἴδιον αἷμα λύτρον ὑπὲρ τοῦ κόσμου σωτηρίας ἀπέδειξε.

Γεν. κεφ. ά. Τὸν δὲ Γάμιον Γάμον ἐνέδειξεν ὅτι θέλημα αὐτοῦ εἶναι γίνεσθαι. αὐτὸς γὰρ ὁ ἐξ ἀρχῆς τὸν ἄνθρω-
Ἰωάν. κεφ. πον καὶ τὴν γυναῖκα βοηθὸν αὐτῷ ἔπλασεν. Διὸ καὶ εἰς τὸν ἐν Κανᾷ τῆ Γαλιλαίας παραγενόμενο-
β'. Γάμον, τοῦτον ἐλόγησε, δείξας τὴν σύνοδον συζυγίαν αὐτοῦ εἶναι θέλησιν καὶ βουλὴν, διὸ καὶ
Ματ. κεφ. δόγμα ἐνέθηκε τῶν τὰς νομίμους γυναῖκας μοιχᾶσθαι παραιτουμένων λέγων, ὃς ὁ Θεὸς ἔζευξεν,
ιθ'. ἄνθρωπος μὴ χωριζέτω, ὡς τούτου μόνου τὴν αἰτίαν ἐξαιρούμενος τοῦ διαζεύγνυσθαι ποιεῖν, καὶ ἐπι-
Ματ. κεφ. σκοπον πέμπειν τῇ γυναικί. πᾶς γὰρ φησὶν ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας,
ε'. ποιεῖ αὐτὴν μοιχᾶσθαι. ἄρα ὁ λύων ἐπὶ πορνείᾳ τούτῳ, ἀπολῦσαι δύναται ἀπροκλήτως.
Τὸν δὲ Μετάνοιαν ὁ αὐτὸς Σωτὴρ ἡμῶν διὰ τῶν αὐτοῦ θείων Προφητῶν, καὶ ἁγίων καὶ ἱερῶν Εὐαγ-
Μαλαχίας γελιστῶν ἐνετείλατο. Ἀποστέλλω πρός με φησὶ διὰ τοῦ Προφήτου Μαλαχίου, καὶ ἀποστέλλομαι πρὸς
κεφ. γ'. ὑμᾶς. καὶ διὰ τοῦ ἱερᾶ Εὐαγγελίου, μεγάλη χαρὰ γίνεται ἐν Οὐρανῷ, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.
Τὸ δὲ Εὐχέλαιον, διὰ τοῦ θείου Ἰακώβου τοῦ υἱοῦ αὐτοῦ τοῦ Κυρίου χειροτονηθέντος πρώτου Ἱε-
ράρχου τῶν Ἱεροσολύμων ποιεῖσθαι ἐνομοθέτησε.

ΚΕΦΑΛΑΙΟΝ Ε'ΝΑΤΟΝ.

Περὶ τῆς τάξεως τῶν Μυστηρίων.

Ἡ τῶν Μυστηρίων τάξις. Πρῶτον ἔχει τάξιν τὸ θεῖον Βάπτισμα, ὅτι αὐτὸ ἐστιν οἱονεὶ πύλη πασῶν τῶν ἄλλων Μυστηρίων, καὶ εἰ
μὴ αὐτοῦ μὴ ὄντος, τὰ ἄλλα χειραγωγὸν ἀποτελεῖν οὐ δύναται. Δεύτερον, τὸ ἅγιον Μύρον,
Τρίτον, ἡ Ἱερωσύνη. Τέταρτον, ἡ θεία Κοινωνία. Πέμπτον, ἡ Ἐξομολόγησις.
Ἕκτον, ὁ Γάμιος Γάμος. Ἕβδομον, τὸ Εὐχέλαιον.

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ κ'

Καὶ τῶν ζητουμένων περὶ αὐτοῦ, εἰς δυοκαίδεκα κεφάλαια διηρημένων.

Κεφάλαιον, ά.

Περὶ τοῦ πόθεν Βάπτισμα.

Πόθεν βάπτισμα. Βάπτισμα λέγεται ἀπὸ τοῦ βάπτω τὸ πλύσιμα. καὶ ὡς καθάπερ εἴ τις ἐρυθρωθὲν φέρων σῶμα
βαπτίσει αὐτὸ ἐν ὕδατι, τὸν μὲν ῥύπον πάντως ἀποβάλλει τοῦ σώματος, τὸ δὲ σῶμα καθαρίζει κέ,
τῆς ἀκαθαρσίας, οὕτω καὶ ὁ βαπτιζόμενος ἐν τῇ ἁγίᾳ καὶ ὀρθοδόξῳ πίστει τῶν χριστιανῶν, ἀποβάλλει
μὲν διὰ παντὸς τὸν ῥύπον τῆς ψυχῆς καὶ τοῦ σώματος τὸ πλύσιμα, τουτέστι τὸ παλαιοπαθὲς ἁμάρτημα ἐν
τῇ καταδύσει τοῦ ὕδατος, καὶ ἀποκαθαρθεὶς καὶ λελουσμένος, χιτῶνα θεοῦφαντον ἀμφιέννυται, τὴν
Ἰωάν. κεφ. χάριν φημὶ τὴν θείαν, καὶ τὴν ζωὴν, (ἐγὼ ἦλθον φησὶν ὁ Κύριος, ἵνα ζωὴν ἔχωσιν) ἣν ἀπώλεσε διὰ
ι'. τῆς παραβάσεως. Καὶ ἄλλως. λ'
Ἐν τῷ περὶ τοῦ ἁγίου Βα- Βάπτισμα λέγεται παρὰ τὸ βάλλω τὸ πτῶσιν. καὶ ἔστιν ἄλλο παγιωθὲν καινὸν ἐπάγει τὴν
πτίσματος. παγίδι τῇ ἁμαρτίᾳ ἀπὸ τοῦ θανάτου ὡς τὸ θεῖον Βάπτισμα, ὃ καταπλυσμός ἐστι τῆς ἁμαρτίας,
λόγῳ. κατὰ τὸν παλαιὸν ἐν θεολογίᾳ Γρηγόριον.

ΚΕΦΑΛΑΙΟΝ ΔΕ'ΥΤΕΡΟΝ.

Περὶ τῶν ζημιωμένων τοῦ Βαπτίσματος. λέ

Τὰ ζημιωτικὰ τοῦ Βαπτίσματος. Βάπτω λέγεται τὸ βρέχω, Βάπτω, τὸ χρωματίζω. Βάπτω τὸ πλύνω.
Βάπτω τὸ κοινῶς βυτῶ.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙ'ΤΟΝ.

Περὶ τοῦ ποσαχῶς τὸ Βάπτισμα.

Ποσαχῶς τὸ Βάπτισμα. Κατὰ μὲν τὸν θεολόγον Γρηγόριον, ἐν τῷ εἰς τὰ Ἐπαφάνια λόγῳ, τετραχῶς ἐστιν, μ'
Ἤγουν τὸ τοῦ Μωϋσέως, Τὸ τοῦ Ἰωάννου, Τὸ τοῦ Σωτῆρος ἡμῶν,
Τὸ τοῦ Μαρτυρίου, Καὶ τὸ διὰ δακρύων.
Καὶ τὸ μὲν Μωϋσέως, ὁ μακάριος Παῦλος. πάντες γὰρ φησὶν ὑπὸ τὴν Νεφέλην ἦσαν, καὶ
πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ Νεφέλῃ.

Τὸ δὲ

Τὸ δὲ τοῦ Ἰωάννου, οἱ Εὐαγγελισταὶ μαρτυροῦσιν. ἐξεπορεύετο φησὶν ὁ Εὐαγγελιστὴς Ματθαῖος πρὸς Ματ. κεφ'.
αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορ- γ'.
δάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. τὸ δὲ τοῦ Σωτῆρος, ὁμοίως οἱ Εὐαγγελισταὶ
πάντες κηρύττουσι. πορευθέντες οὖν φησι μαθητεύσατε πάντα τὰ Ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ Ματ. κεφ'.
ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα κή.
ἐνετειλάμην ὑμῖν.

Τὸ δὲ τοῦ μαρτυρεῖν, ὁ θεῖος Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐν τῷ ζ'. κεφαλαίῳ τῆς Ἀποκαλύψεώς φησιν, Ἀποκάλ.
εἶδον ὑπὸ πάντος Ἔθνους καὶ Φυλῶν πεπεβλημένους στολὰς λευκὰς, οἵτινες ἔφερον καὶ φοίνικας κεφ'. ζ.
ἐν ταῖς χερσὶν αὐτῶν.

Τὸ δὲ διὰ δακρύων, ὁ Κύριος διὰ τοῦ Εὐαγγελιστοῦ Ματθαίου παρεκάλει. δεῦτε λέγων πάντες Ματ. κεφ'.
οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, καὶ μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ πα- ια'. καὶ ε'.
ρακληθήσονται. καὶ ὁ θεσπέσιος Δαβὶδ, τῶν δακρύων μου μὴ παρασιωπήσῃς, καὶ τῷ κλίνῃ μου Ψαλ. λή.
λούσω καθ' ἑκάστην νύκτα δάκρυσι φησὶ, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. Δαμασκ.

Ὁ δὲ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς, καὶ ἕτερα βαπτίσματα τρία παρεισέφηκε τούτοις. Τὸ τοῦ βιβ. δ'.
Κατακλυσμοῦ δηλαδὴ, Τὸ τοῦ Νόμου. Καὶ τὸ τῆς μελλούσης κρίσεως, ὃ ζωτήριον, Γέν. κεφ'. ς'.
ἀλλὰ σωτήριον. λυκ. κεφ'.
ις'.

Τοσούτων γοῦν ὄντων τῶν βαπτισμάτων, ὁ λόγος ἡμῖν ἐστι, περὶ τοῦ ζωτηριώδους βαπτίσματος τοῦ Διονυσίου ἐκ-
Κυρίου, ὅπερ ἐκ τῶν τοῦ ἱεροῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου, καὶ τῶν αὐτοῦ ἐξηγητῶν, μαχίμως καὶ ἀλ- κλησιαστικῆς
λήλοις ὁρίζοντες, λέγομεν. ἱεραρχίας.

κ' ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Περὶ τοῦ τί ἐστι Βάπτισμα.

Βάπτισμά ἐστιν ἀρχὴ καὶ ὁδοποίησις τῆς πρὸς τὸν Θεὸν οἰκειώσεως, καὶ τῆς ἐπουρανίου κληρονομίας. Τί βάπτισμα
ἐὰν ἄρα μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Καὶ ἄλλως

κέ Βάπτισμά ἐστι φώτισμα, λαμπρότης ψυχῶν, βίου μεταβολὴ, βοήθεια τῆς ἀληθείας τῆς ἡμετέρας. Γρηγορίου Θε-
ολόγου ἐν τῷ
Καὶ ἄλλως ἐκ τῶν τοῦ εἰρημένου. περὶ Βαπτίσ-
ματος.

Τὸ φώτισμα σαρκός ἐστιν ἀπόθεσις, πνεύματος ἀναλύθησις, λόγου κοινωνία, πλάσματος
ἐπανόρθωσις, κατακλυσμὸς ἁμαρτίας, φωτὸς μετουσία, σκότους κατάλυσις.
Φώτισμά ἐστιν ὄχημα πρὸς Θεὸν, ζωοκδημία Χριστοῦ, ἔρεισμα πίστεως, νοῦ τελείωσις, κλεῖς
λ' Οὐρανῶν βασιλείας, ζωῆς ἄμειψις, δουλείας ἀναίρεσις, δεσμῶν ἔκλυσις, ζωοτόκου μεταποίησις.
Φώτισμά ἐστι Θεοῦ δῶρον τὸ κάλλιστον, καὶ μεγαλοπρεπέστατον. Καὶ ἄλλως.

Βάπτισμά ἐστιν, ὁμοίωμα τοῦ σταυροῦ καὶ τοῦ θανάτου, τὸ ταφῆς καὶ τὸ ἐκ νεκρῶν ἀναστάσεως. Βασιλ. ἐν
εἶπεν ὁ ἅγιος πατὴρ ἡμῶν ὅτι ὁμοίωμα τοῦ σταυροῦ, κατὰ τὸ, οἱ δὲ τὴν τοῦ Χριστοῦ σάρκα τῷ πρὸς Βα-
ἐσταύρωσαν ζωὴν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. εἶπε τοῦ θανάτου, καὶ τὸ, ἐκεῖ ἐπὶ ζωὴ ἐγὼ, ζῇ δὲ πτίζεται Γα-
λε ἐν ἐμοὶ Χριστός. εἶπε τῆς ταφῆς, καὶ τὸ, συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος. εἶπε τῆς ἀναστά- λάτ.
σεως, καὶ τὸ, συνηγέρθημεν αὐτῷ διὰ τῆς ἀναστάσεως. κεφ'. ε.

Ὁ δὲ θεῖος Ἀμβρόσιος ἐν τῷ περὶ Μυστηρίων φησὶν, ὅτι τὸ βάπτισμα ἐστὶ διάβασις ἐκ τῶν φαύλων Ἀμβρόσιος.
πρὸς τὰ ἐπουράνια, διὰ τοῦ ὕδατος τοῦ βαπτίσματος.

Ὁ δὲ Ἰωάννης ὁ Δαμασκηνὸς ἐν βιβλίῳ τετάρτῳ ἐν τῷ περὶ βαπτίσματος φησὶν, ὅτι τὸ βάπτι- Δαμασκ.
μ' σμα ἐστὶ λήψεως ἀρχὴ τοῦ ἁγίου Πνεύματος, καὶ ἀρχὴ ἑτέρου βίου, καὶ σφραγὶς τῆς παλιγγενεσίας, βιβ. δ'.
καὶ φυλακτήριον καὶ φωτισμὸς ἡμῶν. Καὶ ἄλλως.

Βάπτισμά ἐστι Μυστήριον, δύναμιν ἔχον ἐν ὕδατι πολλῷ, καὶ δωρεὰν μεγίστην, ἁμαρτίας κα- Χρυσό. ἐκ τοῦ
θαίρον διὰ τῆς ὑπακοῆς τῆς ἁγίας Τριάδος, καὶ αὖθις νεκρῷ ζῶντα ποιῶν τὸν λαμβανόμενον. ς'. κεφ'. τοῦ
κατὰ Ἰωάν.

Κεφά-

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΤΟΝ.

Περὶ τῶν πολυωνύμων τοῦ βαπτίσματος.

Πολυωνυμία τοῦ βαπτίσματος.

Τὸ βάπτισμα καλεῖται Δῶρον, Χάρισμα, Χρίσμα, Φώτισμα, Ἀφθαρσίας Ἔνδυμα, Λουτρὸν παλιγγενεσίας, Καὶ Σφραγὶς, Καὶ Καθαρτήριον.

Δῶρον μὲν καλεῖται, ὅτι δωρεὰ δίδοται τοῖς αὐτὸ, φησὶ γοῦν ὁ Προφήτης Ἡσαΐας. ὅτοι μὴ ἔχοντες ἀργύριον, βαδίσαντες ἀγοράσατε. Καλεῖται Χάρισμα, ὡς ἀφεσις τῶν ὀφειλομένων. Βάπτισμα, ὡς ζωοποιούμενοι τῷ ὕδατι τὰ ἁμαρτίας. Χρίσμα, ὅτι ἐστὶν ἱερὸν, καὶ βασιλικὸν, Φώτισμα, ὡς λαμπρότητος. Ἔνδυμα, ὡς ἀσχήμονος κάλυμμα. Λουτρὸν δὲ, ὡς ἔκπλυσις. Σφραγὶς, ὡς τήρησις, καὶ τὸ δεσποτείας τοῦ Κυρίου σημεῖον. Καθαρτήριον, ὡς τὸ ἀμυκτίας ἡμᾶς καθαῖρον.

ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ.

Πόσα ἐτύπωσεν τὸ βάπτισμα.

Περὶ τοῦ πόσα καὶ ποῖα προδιετύπωσε τὸ Μυστήριον τοῦ βαπτίσματος.

Κολοσσ. κεφ. β'.

Καὶ πρώτην ἰδοὺ ἡ Περιτομὴ, καθὰ ὁ Παῦλος βοᾷ. αὐτὸς ἐν ᾧ φησιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. καὶ ὁ θεῖος Χρυσόστομος, ἡ χεὶρ ἐπάγει καθὼς ἐκεῖ τὴν περιτομὴν ταύτην, ἀλλὰ τὸ ἔνδυμα. ἡμέρας, ἀλλ' ὅλον ἄνθρωπον περιτέμνει. σῶμα καὶ τοῦτο, σῶμα κἀκεῖνο, ἀλλὰ τὸ μὲν, σαρκικῶς, τὸ δὲ, πνευματικῶς περιτέμνεται. ἀλλ' οὐχ ὡς Ἰουδαῖοι, οἳ τὴν σάρκα, ἀλλὰ ἁμαρτήματα ἀπεξεδύσασθε.

Ἀθανάσιος. Καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ Περιτομῆς λόγῳ. τύπος ἦν ἡ Περιτομὴ φησὶ τοῦ βαπτίσματος. ἐπὶ ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν βιβλίῳ τεταρτῳ φησὶν, ὅτι ἡ Περιτομὴ τύπος ἦν τοῦ βαπτίσματος. κ'

Χρυσόστομος. Ἔτι καὶ ἡ Προβατικὴ Κολυμβήθρα τύπος ἦν τοῦ βαπτίσματος, καὶ ὁ θεῖος Χρυσόστομος. φησὶ γοῦν ἐν τῇ λς'. ὁμιλίᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου. τίς ὁ θεραπείας τρόπος; ὕδωρ; ποῖον ἡμῖν Μυστήριον αἰνίττεται; οὐκ ἄπαλῶς δὲ εἶπε ταῦτα ἀναγέγραπται, ἀλλὰ τὰ μέλλοντα ἡμῖν ὡς ἐν εἰκόνι τύπῳ προγράφει. καὶ αὖθις, τί οὖν ἐστὶν ὃ προγράφει; ἔμελλε βάπτισμα δίδοσθαι, πολλὴν δυνάμιν ἔχον καὶ δωρεὰν μεγίστην, βάπτισμα πάσας ἁμαρτίας καθαῖρον, καὶ αὐτὰ νεκρὰ κε ζῶντα ἐμποιοῦν.

Ἔξοδ. κεφ. ιδ'. Κοσμ. ά. κεφ'. ί.

Ἔτι τύπος ἦν τοῦ Βαπτίσματος ἡ Ἐρυθρὰ Θάλασσα, δι' ἧς διελθόντες οἱ Ἰσραηλῖται, τὸν θανάτου καὶ τῆς δουλείας τοῦ Φαραὼ ἐλυτρώθησαν. πάντες φησὶν ὑπὸ τὴν Νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ Νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ. ἔτι ψάλλει καὶ ἡ Ἐκκλησία, Θάλασσα μὲν τύπος ἦν ὕδατος, ἡ δὲ Νεφέλη τοῦ Πνεύματος. λ'

Ἔτι τύπος ἦν καὶ Σύμβολον τοῦ ἁγίου Βαπτίσματος, ἡ τῶν ποδῶν τῶν Μαθητῶν παρὰ τοῦ Κυρίου νίψις. κατὰ τὸν θεῖον Δαμασκηνὸν, ἐν κεφαλαίῳ ἐνενηκοστῷ τοῦ τετάρτου βιβλίου.

ΚΕΦΑΛΑΙΟΝ ΕΒΔΟΜΟΝ.

Περὶ τοῦ πότε ἤρξατο τὸ Βάπτισμα ἐνεργεῖσθαι.

Πότε τὸ ἐνεργὲς ἔσχε τὸ Βάπτισμα.

Ἵνα τὰ πολλὰ ἀφέντες καὶ τὰς τῶν πολλῶν ἐννοίας παρωσώμεθα, λέγομεν, ὅτι ὅτε οἱ ἅγιοι Ἀπόστολοι τὸν τοῦ παναγίου Πνεύματος ἐνεδύθησαν δύναμιν κατὰ τὸ γεγραμμένον, καὶ ἡ τοῦ παναγίου Πνεύματος κάθοδος ἐν εἴδει πυρὸς διῃρημένας κεφαλὰς αὐτῶν κατῆλθε, τότε ἐβάπτιζον. φησὶ γοῦν ὁ θεῖος Λουκᾶς ἐν ταῖς Πράξεσιν, ἐν κεφαλαίῳ β'. ἡνίκα ὁ Πέτρος ὁ κορυφαῖος τῶν Ἀποστόλων ζῶν τοῖς ἕνδεκα σαθεὶς ἐδημηγόρησε τοῖς ἐκεῖ, ὅτι ἀκούσαντες κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀποστόλους, Τί ποιήσωμεν ἄνδρες ἀδελφοί; Πέτρος δὲ ἔφη πρὸς αὐτοὺς, μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, φησὶν, οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

ΚΕΦΑΛΑΙΟΝ ΟΓΔΟΟΝ.

Περὶ τοῦ ὅπου ἐστὶ πόσα εἰσὶ τὰ τοῦ ἁγίου βαπίσματος ἀναγκαῖα.

Καὶ πρῶτον μέν ἐστι τὸ Ποιητικὸν αἴτιον, Δεύτερον, τὸ Ὑλικὸν, Τρίτον, τὸ Εἰδικὸν. Τέταρτον, τὸ Τελικόν. Τί τὸ ποιητικὸν τοῦ βαπίσματος.

ε' Περὶ τοῦ Ποιητικοῦ αἰτίου τοῦ ἁγίου βαπίσματος.

Καὶ Ποιητικὸν μέν αἴτιόν ἐστι προηγουμένως καὶ κυρίως καὶ προκαταρκτικῶς ὁ Θεός. φησὶ γοῦν ὁ Χρυσόστομος ἐν τῇ λς'. ὁμιλίᾳ τοῦ κατὰ Ἰωάννην, ὡς εἴρηται ἡμῖν, ὅτι οὐκ Ἄγγελός ἐστιν ὁ παρέχων τὸ ὕδωρ, ἀλλ' ὁ τῶν Ἀγγέλων Δεσπότης, ὃν τὸν αὐτὸν ἐργαζόμεθα. Δεύτερον δὲ αἴτιον, ὁ καὶ ὀργανικὸν καὶ λειτουργικὸν λέγεται, ἐστὶν ὁ ἱερεύς. Χρυσόστομος.

ι' Περὶ τοῦ Ὑλικοῦ αἰτίου τοῦ ἁγίου βαπίσματος.

Τὸ δὲ Ὑλικὸν αἴτιον, ἐστὶ τὸ ὕδωρ τὸ φυσικὸν καὶ στοιχειῶδες. ὃ γὰρ ἔξεστιν ἐν ἄλλῳ βαπίζειν ὕδατι, τοῦτο ὁμοίως ἐστὶ τὸ ἐπὶ τῶν ῥοδῶν, ἢ βοτανῶν ἄλλων ἐκπιεζόμενον. καὶ γὰρ ὁ Κύριος ἐν τῷ φυσικῷ ὕδατι βαπισθεὶς, τῷ Ὑλικῷ ταύτῳ ἡμῖν παρέσχηται, φησὶ δὲ καὶ ὁ Προφήτης, ῥανεῖ γὰρ ὕδωρ ὑμᾶς καθαρὸν, ἤγουν φυσικὸν καὶ στοιχειῶδες. Τὸ ὑλικὸν τοῦ βαπίσματος.

λε' Καὶ διατί ὕδωρ, καὶ οὐκ ἄλλό τι τῶν Στοιχείων εἰς τὸ τοῦ ἁγίου βαπίσματος τελετὴν εἰσήχθη; Διατὶ ἐν ὕδατι λέγομεν, ὅτι τὸ ὕδωρ ἐστὶν ἄμεικτον, καθάπερ καί τις τῶν ἔξω φησίν. ἔστιν ἀναγκαῖον πρὸς τὸ ζῆν, καὶ βαπτιζόμεθα; χρήσιμον πρὸς τὴν τῶν ἀνθρώπων κάθαρσιν. Ἐπὶ ὁ Θεὸς ἐκ τῶν ὑδάτων τὴν τῶν πάντων φύσιν ἐξήγαγε, ὡς καὶ ἡμεῖς πρόσω που ὁμοιώμεθα. καὶ γὰρ καθάπερ ἐκεῖνα ἐκ τῶν ὑδάτων τὸ εἶναι ἔσχε, καὶ πρὸς τὰ ἄνω βαδίζειν παρὰ τὴν φύσεως ἔλαβεν ἰσχύν, οὕτω καὶ ἡμεῖς τὸ εἶναι τὴν ἀναγεννήσεως ἐκ τοῦ ἁγίου ὕδατος τοῦ βαπίσματος λαμβάνομεν, καὶ ὡσεὶ πέρυσι γρυσᾶς, τήν τε καθαρότητά φημι καὶ τὴν θείαν χάριν ἔχοντες, εἰς ὕψος, ὅθα τὸ πολίτευμα ἡμῶν ὑπάρχει ἀναγόμεθα. κ' Ἐπὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐπεφέρετό φησιν ἡ θεία γραφὴ ἐπάνω τοῦ ὕδατος. πῶς οὖν ἔνεκεν; Χρυσ. κεφ. ἀ κινεῖται ὁ Θεῖος Βαπτιστὴς, λέγων, ζωογονεῖν αὐτὸ καὶ ζωοθάλπειν. θέλει ἐκεῖνο τὸ ὕδωρ τοῦτο βαπτίζ. ἀνάνηψιν. καὶ ὄρεξιν καλῶς, καὶ σπόρου πιστῶς. ἐκεῖ ὕδωρ, ἐνταῦθα ὕδωρ. ἐκεῖ Πνεῦμα Θεοῦ, καὶ κα' ἐνταῦθα Πνεῦμα Θεοῦ. ἐκεῖνο ἐζωογόνει, καὶ τοῦτο ὁμοίως. ἐκεῖνο γεννητικὸν, καὶ τοῦτο γεννητικὸν καὶ καθαρτικόν. Διὰ τοῦτο ὕδωρ καὶ οὐκ ἄλλό τι εἰς τὸ τοῦ ἁγίου βαπίσματος τελετὴν παρὰ τοῦ Σωτῆρος ἡμῶν ἐνομοθετήθη δικαίως.

Ἐπὶ καθάπερ τὸ ὕδωρ τοῦ Κατακλυσμοῦ τὸν ὑπὸ τοῦ Νῶε τῆς ζωῆς ἐξέρησε, καὶ τῷ θανάτῳ αὐτὸν παρέδωκεν, οὕτω καὶτὸ ὕδωρ τοῦ βαπίσματος τἀναντίον ποιεῖ, ἀποσμῆχον τὸν βαπτιζόμενον τῶν κα' ῥύπων, σῴζει μὲν αὐτὸν τοῦ θανάτου, παρέχει δὲ αὐτῷ ζωὴν αἰώνιον. ὁ δὲ ἱερὸς Διονύσιος ἐν τῇ θεωρίᾳ τῇ περὶ τοῦ βαπίσματος φησὶ, καὶ μοι σωστέον ἐννοεῖν τὰ ἱερά, μεθ' ὅσης οἰκειότητος ἔχει τὰ ζύμβολα. καὶ γὰρ ἐπειδὴ θανάτου ἐστὶν ἐφ' ἡμῖν, ὑπ' ὑπάρξεως κατὰ τὸ δόξαν ἑτέρους, ἀλλ' ἡ τῶν ἰδιωμάτων ἀφαίρεσις, εἰς τὸ ἡμῖν ἀφανὲς ἄγαγε τὴν ψυχὴν μὲν, ὡς ἐν στέρησει ζωῆς ἀειδῆ γινομένην, τὸ δὲ σῶμα, ὡς ἐν γῇ καλυπτόμενον, καθ' ἑτέραν πρὸς τῶν σωμάτων κβ' ἀλλοίωσιν ἐκ τοῦ κατ' ἄνθρωπον ἰδέας ἀφανιζόμενον, οἰκείως ἡ δι' ὕδατος ὅλικὴ κάλυψις εἰς τὴν τοῦ θανάτου καὶ τοῦ τάφου ἀειδῆ εἰκόνα παρείληπται. Τί ἐστι θανάτος.

Ἐπὶ φησὶν ὁ μέγας Γρηγόριος ὁ Νύσσης ἐν τῷ περὶ βαπίσματος λόγῳ, πολλὴν πρὸς ἄλληλα ἡ Γρηγόριος Νύσσης. συγγένειαν ἔχει γῆ τε καὶ ὕδωρ, μόνα τῶν στοιχείων βαρύτερα ὄντα καὶ κατωφερῆ, καὶ ἐν ἀλλήλοις μένοντα, καὶ δι' ἀλλήλων κρυόμενα. ἐπεὶ οὖν τοῦ καθηγεμόνος τῆς ζωῆς ἡμῶν ὁ θάνατος ὑπόγειος κβ' καὶ κατὰ τὴν κοινὴν γέγονε φύσιν, ἡ θανάτου μίμησις ἡ παρ' ἡμῶν γινομένη ἐν τῷ γάτνι βαπτυσθῆναι στοιχείῳ. καὶ ὡς ἐκεῖνος ὁ ἀνθρώπων ἀναλαβὼν τὴν νεκρότητα, μὴ τὴν ὑπόγειον θέσιν τελευτῆς ὑπὸ τὴν ζωὴν πάλιν ἀνέδραμεν, οὕτω πᾶς ὁ ζωοποιούμενος κατὰ τὴν τοῦ σώματος φύσιν ἐκείνῳ, ποιεῖ τὸ κοινὸν κατόρθωμα βλέπων, τὸ κατὰ τὴν ζωὴν λέγω πέρας, ἀπὸ γῆς τὸ ὕδωρ ὑπερχέόμενος, καὶ ὑποδὺς τὸ στοιχεῖον, ἐν τρισὶ περιόδοις τὴν τριήμερον τοῦ ἀναστάσεως χάριν ἀπεμιμήσατο.

Περὶ τοῦ εἴδους αὐτῶν τοῦ ἁγίου Βαπτίσματος.

Τί τὸ εἶδος τοῦ Βαπτίσματος.

Τὸ εἶδος τοῦ ἁγίου Βαπτίσματος ἐστὶν, ἡ τῆς ἁγίας Τριάδος ἐπίκλησις, καὶ τῶν τοῦ Σωτῆρος ἡμῶν ἐντολῶν. πορευθέντες γὰρ ἐνετείλατο τοῖς ἱεροῖς Μαθηταῖς καὶ Ἀποστόλοις, μαθητεύσατε πάντα τὰ Ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. τοῦτό ἐστι τὸ εἶδος τὸ εἰδοποιοῦν, καὶ τὸ τέλειον παρέχον τῷ ὀρθοδόξῳ χριστιανῷ. ι'

Καὶ πάλιν τὸ εἶδος ἐστὶν ἡ ἐπίκλησις τῆς ἁγίας Τριάδος;

Διὸ φησὶν ὁ Δαμασκηνὸς ἐν τῷ περὶ τοῦ θείου Βαπτίσματος, αὐτὰ τὰ βαπτίσματα χρήζει τῆς ἁγίας Τριάδος εἰς τὸ αὐτῶν ζύσασθαι καὶ ἁγιάσαι. Καὶ ἄλλως.

Βασίλ. Δαλὶ ἐν τῷ ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Ἐπειδὴ ὅλη ἡ ἁγία Τριὰς εἰς τὸ τοῦ Ἀδὰμ σωτηρίαν καὶ ζωὴν ζωοποιήσαι. καὶ ὁ μὲν Πατὴρ ἔπλασε τὸν ἄνθρωπον, ὁ δὲ Υἱὸς ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐζωοποίησε. καὶ ἐγένετο φησὶν ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. οὕτω καὶ εἰς τὸν τοῦ νέου Ἀδὰμ ἔδει γίνεσθαι τὸν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ζωοποιήσαι. καὶ γὰρ ὁ Ἄγγελος ἔφησε τῇ Παρθένῳ, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις καὶ τοῦ ἁγίου ἐπισκιάσει σοι. αὕτη τοίνυν ἡ ἁγία Τριὰς ἐν ἑνὶ ἑκάστῳ ἡμῶν ζωοργεῖ εἰς τὸν ἡμῶν ἀναγέννησιν. καὶ γὰρ Βαπτιζόμενοι εἰς τὸ ὄνομα τοῦ Πατρὸς, τέκνα Θεοῦ ἀπογραφόμεθα, τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. αὐτὸν τὸν χειρὸν ἐνεδυσάμεθα, Πνεῦμα ἅγιον, ἄνωθεν ἐγγενήσαμενοι. ιε'

Καὶ ἄλλως.

Τρία ἦσαν ἅπερ ἥμαρτον ἐν τῷ πρώτῳ ἀνθρώπῳ, ὁ Νοῦς, ἡ Ψυχὴ, καὶ ἡ Σαρξ. καὶ ὁ μὲν Νοῦς σκοτισθεὶς, καὶ τοῖς τοῦ γνωστικοῦ ἐρήμασι καθυπαχθεὶς, κακῶς ἐννοήσας, ἁμαρτάνει τῇ ἐντολῇ. ἡ δὲ Ψυχὴ, ὅτι ἐμπαθῶς ὀρεχθεῖσα τοῦ καρποῦ, ἔκλινεν εἰς τὸ τοῦ Σαρκὸς ὀρέξιν. ἡ δὲ Σαρξ, ὅτι ἐγεύσατο τοῦ καρποῦ, καὶ ἤσθετο τῆς ἡδύτητος, καὶ φθαρτὴ ἀντὶ ἀφθάρτου γέγονε, καὶ δυσωδίας εἰσεπράξατο ποικίλας. ὅθεν ἡ ἁγία Τριὰς ἐπιδημοῦσα τῷ βαπτιζομένῳ, τὸν μὲν Νοῦν τῇ τοῦ Φωτὸς Ἰωάνν. κεφ'. τοῦ ἀληθινοῦ δωρεᾷ φωτίζει γνῶσιν, δι' ἧς τὸν αἰώνιον γνωρίζει ζωήν. αὕτη γάρ ἐστι φησὶν ὁ Εὐαγγελιστὴς ιζ'. Ἰωάννης ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ὄντα ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. τῇ δὲ Ψυχῇ δωρεᾶται τὴν κάθαρσιν καὶ τὴν ἰσχὺν, δι' ταύτην ἐνδυναμοῦσα, κατὰ τῶν Σαρκὸς Ρωμαί. χωρεῖν καθωπλίζει, καὶ πόνοιαν αὐτῇ μὴ ποιεῖν, καὶ τὸ, τῶν Σαρκὸς ὑμῶν πόνοιαν μὴ ποιεῖτε εἰς τὰς κε' κεφ'. ιγ'. Σαρκικὰς ἐπιθυμίας. τῇ δὲ Σαρκὶ δωρεᾶται τὴν δυσωδίαν, ὅπως τῷ κρείττονι ὑποτάσσηται. πρὸς δὲ, καὶ τὴν φθορὰν ἐπιβάλλειν ποιεῖ ἐν τῷ ὕδατι, καὶ ἐπιτήδειον αὐτὴν κατεργάζεται, ὅπως μετάσχῃ τῆς αὐτῆς ἀνάστασιν, τὴν ἀφθαρσίαν, τὴν καθαρότητα, τὴν λευκότητα, καὶ τὴν δόξαν ὑποληψῆται τῶν δικαίων.

Ἀποστολικὰ.

Ἀποστολικὰ.

Ἀλλ' ἴσως ἄν τις ἐπὶ τοῦτο ἐπορήσατο τοῦ Βαπτίσματος, λέγων, τίνος ἕνεκεν οἱ Ἀπόστολοι ἐβάπτιζον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ οὐχὶ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καθὼς ἐν κεφαλαίῳ δευτέρῳ τῶν πράξεων ἱστορεῖται; λ'

Ὅτι φησὶν ὁ μέγας Βασίλειος, ἐν κεφαλαίῳ ιβ'. τῷ περὶ ἁγίου Πνεύματος, τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἡ προσηγορία, τοῦ σωτῆρος ἐστιν ὁμολογία.

Δηλοῖ γάρ φησιν ὁ ἅγιος, τόν τε χρίσαντα Θεὸν, καὶ τὸν χρισθέντα Υἱὸν, καὶ τὸ χρῖσμα, τὸ Πνεῦμα λα' τὸ ἅγιον. ταυτὶ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἔστιν ἀναγκαῖον ἐκφώνως καὶ αὐδήτως τὸ εἶδος ἐπάδεσθαι, ἤγουν τὸ, βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Ὅτι ἕκαστος τῶν χριστιανῶν ἀπόντος ἱερέως δι' ἀνάγκην μεγάλην βαπτίζει.

Παῖς πιστὸς ἐξ ἀνάγκης βαπτίζει.

Ἰστέον δὲ, ὅτι μὴ παρόντος ἱερέως, ἀνάγκης κατεπειγούσης, δύναται καὶ ἱεροδιάκονος βαπτίζειν, καὶ λαϊκὸς χριστιανὸς ἄντε γυνὴ ἢ ἀνὴρ, λαμβάνων ὕδωρ, καὶ βαπτίζων τὸ νήπιον, καὶ λέγων, μὴ βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ δεῖνα, ἢ βαπτίζεται ἡ δούλη τοῦ Θεοῦ δεῖνα, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. περὶ τούτων ἀνάγνωθι Κανόνα τοῦ ἁγίου Νικηφόρου Κωνσταντινουπόλεως, ὅστις φησὶν, ὅτι καὶ περίσσασιν οἱ Μοναχοὶ λίθοι, ὡσαύτως καὶ Διάκονοι δύνανται βαπτίζειν.

Ε᾽π φησὶν ὁ Αὐγουστῖνος περὶ Φυρσιώτων, ὅτι χρείας κατεπειγούσης, εἰώθασιν οἱ λαϊκοὶ παρέχειν τοῖς βαπτιζομένοις τὸ βάπτισμα. καὶ αὖθις ὁ αὐτός φησιν, ὅτι χρὴ τὰ ἀβάπτιστα νήπια, ἐὰν δύρεθῇ τις εἰς τόπον, ἔνθα μὴ ὑπάρχει ἱερεύς, βαπτίζεσθαι. εἰ βαπτίσει δὲ ὁ ἴδιος πατὴρ, ἢ οἰοσδήποτε ἄνθρωπος, ὀρθῶς τὰ τῆς ἁγίας Ἐκκλησίας φρονῶν, οὐκ ἔστιν ἁμαρτία.

Περὶ τοῦ τελικοῦ αἰτίου τοῦ ἁγίου Βαπτίσματος.

Τὸ τελικὸν αἴτιόν ἐστι, τὸ ὑποκαθίσαν τὸν βαπτιζόμενον μακάριον, ἅγιον, τέλειον, ζῶντα, ὑοθετοῦν τοῦ Θεοῦ καὶ οἰκεῖον. φησὶ γοῦν ὁ μακάριος Παῦλος ἐν τῇ ε'. κεφαλαίῳ τῆς πρὸς Ρωμαίους ἐπιστολῆς, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν, εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ.

Τί τὸ τέλος τοῦ βαπτίσματος. Ρωμαί. κεφ'. ς'.

Ε᾽φεσ. κεφ'. ά.

Ε᾽π ὁ αὐτὸς ἐν τῷ πρώτῳ περὶ Ε᾽φεσίους, παθοείσας ἡμᾶς εἰς ὑοθεσίαν. Ε᾽π Γρηγόριος ὁ Νύσσης ἐν τῷ περὶ Βαπτίσματος φησι, πίστις καὶ ὕδωρ, εἶτα φησὶ τὸ ἐκ τούτων ἀναφυόμενον ἀγαθὸν ὅσον καὶ οἷον, ὡς παρὰ αὐτοῦ τοῦ θείου ἔσχε τὴν οἰκειότητα. ἀλλ᾽ εἰσὶ τινες, καθάπερ ὁ Μπελαρμῖνος ἐν τῷ περὶ τοῦ Βαπτίσματος, καὶ ὁ τὴν Καντελάμπτον ποιήσας ἐν τῷ περὶ τοῦ ἁγίου Βαπτίσματος ἄρθρῳ ὀγδόῳ, οἳ οὐκ ὀρθῶς τὰ τῆς ἀνατολικῆς ἁγίας Ἐκκλησίας μυηθέντες, ἔλεγχοι ὁ διδάσκαλος ὁ Δυρκάνδος ἐν τῷ τεταρτῳ τῶν Ἀποφάσεων, ζητήματι δευτέρῳ, λέγουσιν ἡμᾶς τοὺς Γραικοὺς, ὅτι οὐ λέγομεν βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ, ἀλλὰ ὁ δοῦλος τοῦ Χριστοῦ. τοῦτο οὐκ ἄν τις ποτὲ τῆς ἀληθείας ἀποστραφείη δυνήσεται. καὶ ἐπειδὴ τὰ τῆς Ἐκκλησίας βιβλία, Εὐχολόγιά τε φημὶ, καὶ ἡ τοῦ Βαπτίσματος τελετὴ, μάρτυρες τούτου ἀψευδεῖς, δεικνύοντες ἡμᾶς ἀνωτέρους εἶναι παντὸς ψόγου. εἰσέλθετε τοίνυν ἀδελφικῶς εἰσέλθετε, καὶ ὡς τὸ Μυστήριον τοῦ Βαπτίσματος ἐντελεῖ ἡ ἀνατολικὴ Ἐκκλησία κατασκέψασθε, καὶ ἀκριβῶς πάντα τὰ ἐκεῖ τελούμενα ἐρευνήσατε, ὡς ὀρθῶς τε καὶ ὀρθοδόξως γίνεται, καθὼς καὶ ὅτων θεολόγων ἄρχων Διονύσιος ὁ Ἀρεοπαγίτης ἐν τῇ ἐκκλησιαστικῇ ἱεραρχίᾳ περὶ τούτου ἐφιλοσόφησεν. αἱ γὰρ δι᾽ αἰσθήσεως πεῖραι πάντων τῶν ἀποδείξεων βεβαιότεραί εἰσι. πρὸ δὲ πάντων τὸ βαπτίζεται ῥῆμα καὶ ἐνεργητικῶς δυοῖν ἕνεκα, πρῶτον, ὅτι καὶ τῷ θείῳ καὶ ἱερῷ Εὐαγγελίῳ ἄμφω τὰ ῥήματα, τό, τε βαπτίζω φημὶ, καὶ τὸ βαπτίζεται δύναται, καὶ γὰρ τὸ βαπτίζω ἱερὸς Εὐαγγελιστὴς Ματθαῖος ἐν κεφαλαίῳ κή. φησὶ, πορευθέντες μαθητεύσατε πάντα τὰ Ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ πάλιν ἱερὸς Μάρκος τὸ παθητικῶς σημαινόμενον μαρτυρεῖ, λέγει γὰρ ἐν κεφαλαίῳ ις'. ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται. τούτων γὰρ οὕτω ἐχόντων, καὶ ἐνεργητικῶς καὶ παθητικῶς ὑπεφωνήθη τὸ ῥῆμα, ὐδενὶ ἦν ὅμολογούμενον τὸ μὴ χαίρειν κατέργεσθαι ὑπὸ τὸν βαπτιζόμενον. δεύτερον, τοῦτο ὑπεφωνήθη, ἵνα σωφρονεῖν ὑπὸ πάντα μεμαθηκότες. βαπτίζεται γάρ φαμεν δοῦλος τοῦ Θεοῦ, ὡς ζωυπακούεται τὸ ὑπ᾽ ἐμοῦ, ἢ δι᾽ ἐμοῦ. ὅπ δὲ τοῦτο παρὰ τοῦ ἱεροπρόλυτου καὶ διδασκάλου ἐδιδάχθημεν, τοῦ τὴν οἰκουμένην χρυσώσαντος Χρυσοστόμου, ἐν τῇ ἐξηγήσει τοῦ ια'. κεφαλαίου τῶν Πράξεων λέγοντος, δείκνυται, ἐν ᾧ φησιν ὁ θεῖος Λουκᾶς, Ἰωάννης μὲν ἐβάπτισεν ἐν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε (ἰδοὺ τὸ παθητικῶς σεσημασμένον) ἐν Πνεύματι ἁγίῳ. λέγει τοίνυν ὁ εἰρηνικὸς διδάσκαλος, δείκνυσιν αὐτοὺς ἤδη μείζους λοιπὸν γεγενημένους Ἰωάννου, εἶχε γὰρ μὲν Πνεύματι ἔμελλον καὶ αὐτοὶ βαπτίζειν. ὁ δὲ οὐκ εἶπεν, ὑμᾶς δὲ ἐγὼ βαπτίζω ἐν Πνεύματι ἁγίῳ, ἀλλὰ βαπτισθήσεσθε, διδάσκων ἡμᾶς παρενοφρονεῖν. Ε᾽π δὲ ὁ Κύριος οὐκ εἶπε τῷ Παραλυτικῷ, ἐγὼ ἀφίημί σοι τὰς ἁμαρτίας σου, ἀλλὰ τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. τοίνυν παύσατε ἀδελφοὶ πάντες, μὴ ὕβρεως ἐχθρωδῶς καὶ τῶν Γραικῶν τὴν γλῶτταν καὶ τὴν χεῖρα κινεῖτε, ἵνα μὴ παρὰ Θεοῦ δίκας ὑπόσχητε, ὡς μισάδελφοι, καὶ τοῖς ἐκεῖσε παραπεμφθῆτε δικασταῖς.

Κεφά-

ΚΕΦΑΛΑΙΟΝ Ε'ΝΑΤΟΝ.

Περὶ τοῦ ἐν ποίῳ καιρῷ δεῖ βαπτίζειν.

Πότε δεῖ βαπτίζειν.

Λέγομεν, ὅτι ἀνάγκης κατεπειγούσης, καὶ πᾶσαν ἡμέραν καὶ ὥραν καὶ στιγμήν. ἀνάγκης δὲ μὴ οὔσης, φησὶν ὁ μὲ, κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, ὅπου ὑδεῖ μὴ δύο ἑβδομάδας τῆς τεσσαρακοστῆς δέχεσθαι εἰς τὸ φώτισμα. τοῦτο δὲ νῦν ὡς ὅπου τὸ πλεῖστον ὑπηρέτησε, τῆς Ἐκκλησίας ἴσως τοῦτο τότε ποιούσης, διὰ τὸ τῆς ἁγίου Σαββάτου, ἐγγὺς ὄντι τῆς ἁγίας ἀναστάσεως τοὺς κατηχουμένους βαπτίζεσθαι κατὰ τὴν παλαιὰν συνήθειαν.

ΚΕΦΑΛΑΙΟΝ ΔΕ'ΚΑΤΟΝ.

Περὶ τοῦ ἐν ποίῳ τόπῳ δεῖ βαπτίζειν.

Ποῦ δεῖ βαπτίζειν.

Προηγουμένως μὲν ἐν πρώτοις ἐν ταῖς ἁγίαις Ἐκκλησίαις, καθὰ καὶ ὁ ὅν θ'. Κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας συνόδου φησίν. ἀνάγκης δὲ κατεπειγούσης, καὶ ἐν Εὐκτηρίῳ οἴκῳ, εἴδον οἰκίας τυγχάνοντα. Εἰ καὶ ἐν οἴκῳ ἀπλῷ δύναταί τις βαπτίζειν, δείκνυται καὶ ἐν ταῖς τῶν ἁγίων Ἀποστόλων Πράξεσιν, ἐν κεφ'. ἡ. τὸν Φίλιππον τὸν Ἀπόστολον βαπτίσαι τὸν Εὐνοῦχον καθ' ὁδόν. Δοκεῖ δὲ τοῖς εἰρημένοις συμφωνεῖν καὶ ὁ μζ'. κανὼν τῆς ἐν Λαοδικείᾳ συνόδου, φησὶ γὰρ, εἰ δέ τις νοσήσας, καὶ ἐν ᾧ κινδύνῳ γενόμενος τοῦ θείου ἀξιωθείη Βαπτίσματος, εἶτα τὰ τῆς εὐσεβείας κατηχηθείς, ἐξέφυγε τὴν νόσον, μανθανέτω τῆς πίστεως τὸ Μυστήριον. τίνων ὁ νοσῶν, οὐχὶ ἐν Ἐκκλησίᾳ, ἀλλ' ἐν οἴκῳ νοσεῖ, ἆρα γ' ἐν οἴκῳ ἔξεστι βαπτίζειν χρείας κατεπειγούσης ἀποθεμένους, ὡς εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ Ε'ΝΔΕΚΑΤΟΝ.

Περὶ τοῦ ποίους ὑδεῖ βαπτίζειν, καὶ ποίους ἀναβαπτίζειν τῶν Αἱρετικῶν καὶ τῶν ὑπ' ἄλλων συμβεβηκότων τι παθόντων.

Ποίους ὑδεῖ βαπτίζειν καὶ ποίους δεῖ.

Οὐ δεῖ βαπτίζειν τοὺς δαιμονῶντας, εἰ καὶ κατηχούμενοι τυγχάνουσιν. φησὶ γὰρ ὁ δεύτερος κανὼν τοῦ ἁγίου Τιμοθέου Ἀλεξανδρείας, ὅπου χρὴ καὶ τοὺς ἀκαθάρτου δαίμονος καθαρθῆναι ὁ δαιμονῶν ὑβαπτιζέσθω.

Ὁ δὲ τέταρτος αὐτοῦ κανών φησιν, ἐὰν μὴ ὑπὸ δαίμονος ὁ κατηχούμενος ἐνοχλῆται, ἀλλ' ὑπὸ νόσου τῶν φρενῶν ἐξεκρύβη, ἀναμφιβόλως βαπτισθήσεται.

Ὁ δὲ μή. κανὼν τῆς ἐν Καρθαγένῃ φησὶ, τοὺς ἀδυνατοῦντας, οἵτινες ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι δύνανται, τότε βαπτίζεσθαι, ὅτε τῇ αὐτῶν προαιρέσει τὰ περὶ αὐτῶν μαρτυρίαν κινδύνῳ ἰδίῳ ἔσωσιν. Εἶτα φησὶν ὁ ζ'. κανὼν τῆς δευτέρας Συνόδου, τοὺς προσιεμένους τὴν ὀρθοδοξίαν, καὶ τῇ μερίδι τῶν Ζωοποιῶν ὑπὸ αἱρετικῶν δεχόμεθα, κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν. Εὐνομιανοὺς μὲν τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς ὑποστολὰς διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ τὰς ἄλλας πάσας αἱρέσεις, (ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ὁρμώμενοι) πάντας τοὺς ὑπ' αὐτῶν φέλοντας προσίεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα, καὶ πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς χριστιανοὺς, τὸν δὲ δεύτερον κατηχουμένους, εἶτα τῇ τετάρτῃ ἐξορκίζομεν αὐτοὺς μὲ τὸ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα, καὶ οὕτω κατηχοῦμεν αὐτοὺς, καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν Ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν.

ΚΕΦΑΛΑΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

Περὶ τῶν ἀμφιβαλλομένων Νηπίων εἰ ἐβαπτίσθησαν.

Εἰ ἀμφίβολος ἢ Νηπίων βάπτισις τί βαοι μαρτύρες ποιητέον.

Φησὶν ὁ ὀγδοηκοστὸς τέταρτος Κανὼν τῆς ἁγίας καὶ Οἰκουμενικῆς ἕκτης Συνόδου, τοῖς κανονικοῖς τῶν πατέρων θεσμοῖς κατακολουθοῦντες, ὁρίζομεν καὶ περὶ τῶν Νηπίων, ὁπόσοις μὴ δείκνυται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθῆναι εἶναι λέγοντες, καὶ ὑδὲ ταῦτα διὰ τὴν κεῖραν περὶ τὸ παραδοθέντος αὐτοῖς μυσταγωγίας ἀποκεῖνεσθαι ὀφειλούσης, χωρίς τινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι, μήποτε ὁ τριοδικὸς διασυρμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθαρότητος.

Περὶ

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΤΗΤΟΣ

Καὶ τ ζητημάτων ωεῖ αὐτ εἰς δέκα κεφάλαια διηρημένων.

Κεφάλαιον, πρῶτον.

Περὶ τ τί ἐστι Μύρον.

ε' Τί ἐστι Μύρον; Μύρον ἐστὶ χάρισμα εὐσεβείας, ᾗ ἀγάπης, ᾗ χαρᾶς καὶ ἀγαλλιάσεως, ᾗ ζωοποιοῦ καὶ τ ἄλλων τῶν ἀγαθῶν χορηγόν, διὰ ἐλαίου παρὰ τ νομίμου Ἀρχιερέως κατεσκευασμένον εἰς τ τ βαπτιζομένων ὠφέλειαν.

Ἄλλως κατὰ τὸν ἱερὸν Διονύσιον τὸν Ἀρεοπαγίτην.

Μύρον ἐστὶ τελεστικὴ χρίσις, εὐώδη ποιοῦσα τὸν τετελεσμένον, ᾗ τῷ θεαρχικῷ Πνεύματι εὐθέα αὐτὸν.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ι' Περὶ τ πόθεν Μύρον.

Πόθεν Μύρον; Ἀπὸ τ μύρου τ ῥέοντος, ἤγουν τ ἐκπιεζομένου καὶ ἀποτιθεμένου. Πόθεν Μύρον.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ.

Περὶ τ ποσαχῶς τὸ Μύρον.

ιε' Τὸ Μύρον λέγεται τριχῶς, λέγεται Μύρον Ἀρχιερατικὸν, λέγεται Μύρον Διατελεστικὸν, λέγεται δὲ Μύρον τ Φωτίσματος. Ποσαχῶς τὸ Μύρον.

Λέγεται Μύρον Ἀρχιερατικὸν, διὰ ᾧ οἱ πάλαι Ἀρχιερεῖς ᾗ Βασιλεῖς ᾗ οἱ Προφῆται ἐχρίοντο.

Λέγεται Μύρον Διατελεστικὸν, παρὰ τὸ τελεῖσθαι καὶ ἡδιον γίνεσθαι.

Λέγεται Μύρον τ Φωτίσματος, ἤγουν τ ἁγίου Βαπτίσματος, περὶ οὗ ἡμῖν ὁ λόγος.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ιδ' Περὶ τῶν Σημαινομένων τ Χρίσματος.

Τὰ Σημαινόμενα τ Χρίσματος εἰσὶ ταῦτα, τὸ καλεῖσθαι δηλαδὴ Μύρον, Σφραγῖδα, Χρίσμα. Καλεῖται μύρον, ὅτι εὐωδίαν Χριστοῦ ποιεῖ τὸν βαπτιζόμενον. Χριστοῦ γὰρ εὐωδία ἐσμὲν φησὶν ὁ μακάριος Παῦλος ἐν τῷ δευτέρῳ κεφαλαίῳ τ δευτέρας πρὸς Κορινθίους Ἐπιστολῆς. Σημαντικὰ τ Μύρου.

